1 δεῖ] τὸ AB ‖ 1—2 C sic: ἐρεῖς δὲ καθῆραι. καθαρεῦσαι. περιρᾶναι. ἀπορρυψάμενον ‖ 2 ἀπονιψάμενον om F ‖ 3 ἡγνισμένον C | καθαρὸν AC | νεοπλυνεῖ] πολυτελῇ C ‖ 6 προστρέπεσθαι] προτρέπεσθαι AV Π BCM corr Hemsterh | καλεῖν M ‖ 6—7 ἀνακαλεῖν θεούς om F ‖ 8 καὶ ἀντιβολεῖν Π ἐπαντιβολεῖν B ‖ 9 ὕμνους Π ‖ 12 ἁγνὰ θ. non legitur ap Thuc. Cf tamen Thuc I 126. 4 θύουσι πολλοὶ οὐχ ἱερεῖα, ἀλλὰ θύματα ἐπιχώρια. Itaque Jungermann in Polluce ἁγνὰ delet, Hemsterhusius pro ἀλλὰ in Thuc ἁγνὰ δὲ scribit. Kuehn a Polluce falso Thucydidem scriptum esse coniecit pro Platone qui in Leg VI 782 C θύματα δὲ οὐκ ἦν τοῖς θεοῖς ζῶα, πέλανοι δὲ καὶ μέλιτι καρποὶ δεδευμένοι καὶ τοιαῦτα ἄλλα ἁγνὰ θύματα. Aut epitomatoris error ‖ 12—13 Θ. εἴρ. αὐτὰ θύμ. ἁγνὰ ἀντιδιαστέλλων πρὸς τὰ ἐν αἵματι θυόμενα. ἱερεῖα πρ. C | ἀνατιθεὶς AB ἀνατιτιθεὶς M ‖ 13 σμύρναν] μαναὰν M μάννα V μάνναν Π | τὰ δὲ ἱερεῖα M ‖ 14 ἀποθύειν] ἄγειν C ‖ 17 ὁλὰς M ἄλας C ἄλλας V | θυλήσασθαι FC θηλύσασθαι S θηλῆσασθαι B θεῷ ἱλάσασθαι M ‖ 18 δεκάτην ἀποθῦσαι om F ‖ 19 ἀποθεῖναι] ἐναποθεῖναι Ed pr δ. ἀποθῦσαι καὶ ἀναθέσθαι. ἀνάθημα C

κνιcᾶν ἀγυιὰc ⸢ἀνῄρει⸣. ἀπαρχὰc προcενεγκεῖν, ἀπάργματα προcφέρειν, ⸢⸢ἄργματα προcφέρειν⸣⸣, ψαιcτά, πόπανα, [BC]ὄμπην, πελάνουc[B]⸣, cτεφάνουc, ⸢πέμματα⸣, cτέμματα, θαλλούc, ⸢μυρρίναc, ἄνθη⸣. παιανίcαι, παιᾶνα ᾆcαι·
29 τὸ γὰρ ὀλολύξαι καὶ ὀλολυγῇ ⸢χρήcαcθαι⸣ ἐπὶ γυναικῶν. τὰ μέντοι πράγματα θυcία, βουθυcία, θυηπολία, κατάκληcιc θεῶν, ἀνάκληcιc, ἔντευξιc, πρόcοδοc, ἱερουργία, ἱεροποιία, ἱκετεία, cπονδή. τὸ δὲ ἀπὸ τῶν βωμῶν ἀπορρέον πνεῦμα, κνῖcα καὶ ἀτμόc. προcακτέον δὲ θύcιμα ἱερεῖα ἄρτια, ⸢ἄτομα⸣, ὁλόκληρα, ⸢ὑγιῆ, ἄπηρα, παμμελῆ, ἀρτιμελῆ, μὴ⸣ ⸢κολοβὰ⸣ μηδὲ ἔμπηρα μηδὲ ἠκρωτηριαcμένα μηδὲ διάcτροφα. Cόλων δὲ τὰ ἔμπηρα καὶ ἀφελῆ ὠνόμαcε. προcακτέον μέντοι καὶ βοῦc ἄζυγαc. ἰcτέον δ᾽ ὅτι τὰ ἐκ τῶν ἱερείων κρέα θεόθυτα καλεῖται.

30 ⸢ἵνα δὲ καὶ ἀναπαύcω cε πρὸc μικρόν, ἐπεὶ τὸ διδαcκαλικὸν εἶδοc⸣ ⸢αὐχμηρόν ἐcτι καὶ προcκορέc, οὐδὲν ἂν κωλύοι προcθεῖναι καὶ μύθου⸣ ⸢γλυκύτητα εἰc ψυχαγωγίαν, ὅτι καὶ⸣ μῆλα θύουcι περὶ Βοιωτίαν Ἡρακλεῖ — λέγω δὲ οὐ τὰ πρόβατα τῇ ποιητικῇ φωνῇ, ἀλλὰ τὰ ἀκρόδρυα — ἐκ τοιᾶcδε τῆc αἰτίαc. ἐνειcτήκει μὲν [FSBC⸢γὰρ[BCFS]⸣ ἡ πανήγυριc τοῦ θεοῦ, καὶ κατήπειγε τοῦ θύειν ὁ καιρόc, τὸ δὲ ἱερεῖον ἄρα κριὸc ἦν. καὶ οἱ μὲν ἄγοντεc ἄκοντεc ἐβράδυνον — ὁ γὰρ Ἀcωπὸc ποταμὸc
31 οὐκ ἦν διαβατόc, μέγαc ἄφνω ῥυείc —, οἱ δ᾽ ἀμφὶ τὸ ἱερὸν παῖδεc ὁμοῦ παίζοντεc ἀπεπλήρουν τῆc ἱερουργίαc τὸν νόμον· λαβόντεc γὰρ

ΣΧΟΛΙΟΝ ad l 10: ἔcτι (ἔcτη C) δὲ καὶ χρηcτήρια ἱερὰ τὰ ἐπὶ χρηcμῶν. ὥcπερ καὶ χρηcτήρια cκεύη τὰ τῶν θεωρῶν καὶ ὁρκωμόcια (-μώcια Cdd) ἱερὰ τὰ ἐπὶ τοῖc ὅρκοιc καὶ τόμια (-μεῖα Cdd). C in textu post ἄζυγαc l 10. Vaticanus Column 2226 in margine.

V om praeter ea quae A, etiam l 8 ἄτομα

M om l 1 ἀνῄρει ‖ 2 ἄργματα προcφέρειν ψαιcτά ‖ 6 ἱεροποιία ‖ 8 ἄπηρα | ἀρτιμελῆ ‖ 12—20

1 ἁγνιάc Π ἄγυ M | προcενέγκαι Π BC ‖ 1—2 προcενέγκαι/////τα C quod m 2 supplevit: ἀ]πά[ργματα προcφέρειν] ψαιcτά ‖ 2 ἄργματα] ἅρματα Π | ψεcτά AVB ὀμφήν, παιάνουc M ‖ 3 μυρρίνηc ἄνθη AB | παιᾶναc Π ‖ 7 τὰ δὲ προcακτέα A προcακτέα δὲ Π | θύcιμα] θύματα AB θύμα καὶ V θύμα M ‖ 12 διαναπαύcω Ed pr

---

1 κνιcᾶν ἀγυιάc] Demosth XXI 51 Harp B.A^{v} 268. 6, Aristoph Av 1232 ‖ 2 ἄργματα Hom ξ 446 | ψαιcτὰ πόπανα] cf Pausan L ap Eustath 1445. 58 (Schwabe p 220), Cyr, Hes, Bachm L 419. 24 (Suid), B.A^{v} 317. 26, Et M 818. 41, Schol Aristoph Plut 1115 (Suid), Et Gud 571. 53, Lex Messan 411 ‖ ὄμπη] Callim frg 123 ubi v Schneid, B.A^{v} 287. 21 (Hes, Et M 625. 52) Phot ‖ 10 ἔμπηρα] Cyr Vall E 11: ἔμπηρα· ἀνέξοδα, ἀνίερα, Hes | ἀφελῆ] cf Bachm L in B.A 469. 31 (e schol Aristoph Eq 524) = Phot (Et M 176. 14) Suid, cf B.A^{II} 83. 23 (Sophocl frg 656) | ἄζυγαc] Hes ‖ 11 θεόθυτα] Phrynich in B.A 42. 21 (Cratinus), Hes Phot

μῆλον ὡραῖον κάρφη μὲν ὑπέθεσαν αὐτῷ τέτταρα, δῆθεν τοὺς πόδας, δύο δ' ἐπέθεσαν — τὰ δ' ἦν τὰ κέρατα — καὶ κατὰ τοὺς ποιητὰς ἀποθύειν ἔφασαν τὸ μῆλον ὡς πρόβατον. ἡσθῆναί τε λέγεται τῇ θυσίᾳ τὸν Ἡρακλέα, καὶ μέχρι τοῦδε παραμένειν τῆς ἱερουργίας τὸν νόμον. καὶ καλεῖται παρὰ τοῖς Βοιωτοῖς Μήλων ὁ Ἡρακλῆς, τοὔνομα ἐκ τοῦ τρόπου τῆς θυσίας λαβών.

τὰ πρὸ τῶν ἱερῶν περιρραντήρια, καθαρμοί, καθάρσεις, καθάρσια, 32
⟦καθαρτήρια, καθάρται⟧. καὶ οἱ τούτοις χρησάμενοι καθαροί, ὥσπερ οἱ ἐναντίοι ἀκάθαρτοι. ⟦καθαρῶς⟧ ὁσίως ὡσιωμένως ⟦ἁγνῶς ἡγνευμένως⟧ ⟦ἁγίως προσιόντες, ἀνόσιοι, ἀνίεροι⟧· ἀνάγνως ⟦ἀνοσίως⟧ ἀκαθάρτως πάντα δρῶντες, μιαροί, παμμίαροι, ⟦ἐναγεῖς⟧, ἄγει προσεχόμενοι, μιάσματι ἐνεχόμενοι. καὶ τὰ πράγματα, τὸ μὲν ἅγιον, ⟦καθαρόν, ὅσιον⟧, 33
⟦ἁγνόν⟧, ⟦εὐαγές⟧, ἄχραντον, τὸ δ' ⟦ἐναντίον⟧ ἐναγές, ἐξάγιστον, δυσαγές, ⟦μιαρόν, παμμίαρον, μίασμα, μύσος⟧. ἄλλης δὲ χρείας καθήρασθαι, μίασμα ἐκνίψασθαι, ⟦ἄγος ἀποπέμψασθαι⟧, μύσος λύσασθαι, ἀπολύσασθαι, ἀποτρέψασθαι, ἀποδιοπομπήσασθαι.

τὰ ⟦δὲ⟧ πρὸς θυσίαν σχίζαι, σφαγίδες, κοπίδες, πελέκεις, ὀβελοί, λίκνα, κανᾶ, χέρνιβες· τὸ γὰρ πεμπώβολα (Hom A 463) καὶ οὐλοχύται (Hom A 458) καὶ τὰ τοιαῦτα ποιητικά.

ΣΧΟΛΙΑ ad l 5: τοῖς θηβαίοις AB in textu ante τ. Βοιωτοῖς addito ἢ ‖ ad λίκνα l 18 περιφερῆ κανᾶ, ὁ βαρβάρως θίγρας καλοῦσιν C in textu, Vatican Column 2226 in margine sic: ἀβάρβαρος. θίγρας καλοῦσιν.

V om praeter ea quae A, etiam l 12 ἅγιον ‖ 13 ἐναντίον, sed praebet 12 καθαρῶς

M om l 1—8 καθάρται ‖ 13 ἐναντίον ‖ 14 μιαρόν—μύσος ‖ 15 ἀπολύσασθαι ‖ 16 ἀποδιοπομπήσασθαι ‖ 17—19

1 δῆθεν ὡς πόδας καὶ ἕτερα δύο οἷα κέρ. καὶ C ‖ 3 ὡς] τὸ V Π, C² in rasura ὡς ‖ 5 τὸ ὄνομα A ὄνομα VΠB ‖ 8 χρώμενοι C V hic tamen ηςα superscr | ὥσπερ οἱ] οἱ δ' AVΠBM ‖ 9 post ἀκάθαρτοι C pergit sic: καὶ τὰ ἐπιρρήματα ἑκατέρου καθαρῶς καὶ ὁσ. καὶ, VΠM sic: ὥσπερ καὶ οἱ ἐναντίοι (τούτων add F) τῶν καθαρῶν. ὁσίως, AB sic: ὥσπερ καὶ τὰ ἐναντία τῶν ἀκαθάρτων ὁσίως delevi dittographiam sive ex dittographia orta ‖ 10 οἱ δὲ προσιῶντες M | ἀνίεροι] ἀνίμεροι F ἀνήμεροι S ‖ 11 προδεχόμενοι B, v Thucyd I 127. 1 ‖ 11—12 μιάςμαςιν Π ‖ 12 μὲν ἅγιον] ἐναντίον M ‖ 15 post ἐκνίψασθαι F add ἀπονίψασθαι, om ἄγος ἀποπεμ. ‖ 16 ἀποτρίψασθαι AVB ἀποτρ///ψ. C ‖ 18 πεμπόβολα ΠB πεπώβα(?)λα C (pr α in rasura)

---

17 σχίζαι] Schol Aristoph Pac 1024 (Suid) σχίζας κυρίως ἔλεγον οἱ παλαιοὶ τὰ ἐπὶ ταῖς θυσίαις τιθέμενα ξύλα, ὡς καὶ Ὅμηρος (γ 459) 'καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων' ‖ 18 χέρνιβες] Demosth XXII 78, Aristoph Av 850, Harp (Suid) . . . τῆς γὰρ χέρνιβος μέμνηνται οἱ κωμικοὶ ὡς παραλαμβανομένης εἰς τὰς θυσίας cf B.A^{v} 316. 31 | πεμπώβολα] Schol B Hom A 463

34 καιροὶ δ' ἱεροὶ πανηγύρεις, ἑορταί, ἱερομηνίαι, θεοφάνια, θεοξένια, ... μεθέορτοι ἡμέραι κατὰ Ἀντιφῶντα (fg 171 Bl). καὶ ἄνθρωποι ἑορτασταί, [[πανηγυριστα]ί, φιλέορτοι, [[συνεορτασταί]], συμπανηγυ-[ριστα]ί, εἴποις δ' ἂν πανηγύρεις [δημοτελεῖς] καὶ πάνδημοι [[καὶ δημόσιαι]] [[καὶ δημοθοινίαι καὶ πανθοινίαι]] καὶ πανδαισίαι. [τὸ δ'] [ἐν ταῖς εὐωχίαις ἢ κρεανομίαις πρῶτον τῶν μερίδων λαμβάνειν] [πρωτοθοινία ὀνομάζεται]. τὰ δὲ ῥήματα ἑστιᾶσθαι, εὐωχεῖσθαι, πανη-[γυρίζειν, ἑορτάζειν, συνεστιᾶσθαι], [[συνευωχεῖσθαι]], συμπανηγυρίζειν, [συνεορτάζειν], συσπένδειν [καὶ ὁμοσπονδεῖν καὶ] ὁμοσπόνδους γίνεσθαι, κρατήρων συμμετέχειν.

35 εἴη δ' ἂν τῆς αὐτῆς ἰδέας καὶ τάδε, μυστήρια, τελεταί, ὄργια, μύσται, μυσταγωγοί, [τελεσταί], ὀργιασταί. καὶ μυεῖν, μυσταγωγεῖν, [μυεῖσθαι], ὀργιάζειν, [τελεῖσθαι, τελεῖν]. φιλοτιμότερον δὲ [τῇ χρήσει] τὸ τελεσιουργεῖν καὶ ἡ τελεσιουργία. ἱεροφάνται, δᾳδοῦχοι, κήρυκες, σπονδοφόροι, [ἱέρειαι], παναγεῖς, [πυρφόροι, ὑμνῳδοί, ὑμνήτριαι]· ἰακχα-γωγὸς γὰρ καὶ κουροτρόφος καὶ δαειρίτης, καὶ ὅσα τοιαῦτα, ἴδια τῶν
36 Ἀττικῶν. ὁ δὲ μυηθεὶς μεμυημένος, τετελεσμένος, ὠργιασμένος, ὥσπερ ὁ ἐναντίος ἀμύητος, ἀτέλεστος, ἀνοργίαστος. ὀνομάζονται δὲ καὶ μυστηριώτιδες σπονδαὶ καὶ μυστικαὶ ἡμέραι, ὥσπερ ἱεραί, ἄφετοι, ἄνετοι, καθιερωμέναι, κατωνομασμέναι θεοῖς, καθωσιωμέναι, καταπεφημισμέναι.

V om praeter ea quae A, etiam l 3 φιλέορτοι ‖ 3—4 συμπανηγυρισταί ‖ 13 μυεῖσθαι ‖ 19 σπονδαί

M om l 5 καὶ δημοθοινίαι—πανθοινίαι ‖ 7 εὐωχεῖσθαι—8 συνευωχεῖσθαι ‖ 11 μυστήρια ‖ 12 τελεσταί ‖ 15—16 ἰακχαγωγὸς γὰρ ‖ 16 καὶ δαειρίτης ‖ 18 ἀμύητος ‖ 19 σπονδαί ‖ 20 θεοῖς καθωσιωμέναι

1 καιρῶν δὲ περίωδοι ἱεραὶ M καιροὶ δε τούτων πανηγ. V | θεοφάνια] ἱεροφανία Π ‖ 2 ante μεθέορτοι lacunam indicavi, ἐπίβδαι excidisse ratus cll Et M, Hes ‖ 5 πανδεσίαι SM δημοσύνας καὶ πανδαισίους C πανδαιμοσίαι V ‖ 6 κρεωνομίαις BV κρεον. M | τὸ πρῶτον V τὴν πρώτην A ‖ 7 ὀνομάζετο FS² -ζεται S¹ ‖ 9 συνσπένδειν κ. ὁμόσπονδοι MV ‖ 11 τῆς τοιαύτης Π | ordinem immutant AV ‖ 12 καὶ τὰ ἀπαρέμφατα μυεῖν C ‖ 14 τελετουργεῖα M ‖ 15 ἱέρειαι] ἱερεῖς Π | ὑμνήτριαι V ὑμνητρίδι M ὑμνητρίδες AB ὑμνηταί Π ‖ 16 κουροτρόφος τις καὶ Π C κουροτροφιῶτις V κουροτρόφοι M ‖ 20 καταπεφωμισμέναι A καταπεφωτισμέναι M καταπεφησμέναι V καταπεφεισμένα B

---

2 μεθέορτοι ἡμέραι] Phot B.A^{v} 279. 22, Hes ἐπίβδαι, Et M 357. 54, Schol Pind P IV 249 ‖ 14 ἱεροφάνται] Ὑπερείδης, Δείναρχος ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ Harp ‖ 15 σπονδοφόροι] Aeschin II 133 ‖ 16 δαειρίτης] cf Ael Dion L ap Eustath 456. 13, 648. 26 (Schwabe p 134. 1), Harp (Suid), Hes Δάειρα et Δαῖρα, Schol Apoll Rh III 847, Schol Lycoph 710, Et M 244. 34 ‖ 19 ἄνετοι] Harp (B.A^{VI} 399. 12) ἄνετον ἀντὶ τοῦ ἱερὸν καὶ ἀνειμένον θεῷ τινὶ Ὑπερείδης Δηλιακῷ

τὰ δὲ μυστήρια καὶ τὰ ὄργια τελεταὶ καὶ τέλη μυστικὰ καὶ τελεσιουργίαι.

ἑορταὶ ἔντιμοι Μουσῶν Μουσεῖα, Ἑρμοῦ Ἑρμαια, Διὸς Διάσια 37
[καὶ Πάνδια], Ἀθηνᾶς Παναθήναια, Ἥρας Ἥραια, Δήμητρος Δημήτρια
καὶ θεσμοφόρια καὶ Ἐλευσίνια, Κόρης παρὰ Σικελιώταις (C G F I
p 213. 174 Kaibel) θεογάμια καὶ ἀνθεσφόρια, Ἀρτέμιδος Ἀρτεμίσια
καὶ Ἐφέσια, Κρόνου [Κρόνια], Ἀσκληπιοῦ Ἀσκληπιεῖα, Ἀπόλλωνος Δήλια, Ἑκάτης Ἑκατήσια, Τροφωνίου Τροφώνια, Διοσκούρων Ἀθήνησιν
Ἀνάκεια. συντάττοιντο δ' ἂν τούτοις καὶ αἱ τῆς περιόδου καὶ τῶν
ἀγώνων κλήσεις, Ὀλύμπια καὶ τὰ λοιπά.

ᾠδαὶ εἰς θεοὺς κοινῶς μὲν παιᾶνες, ὕμνοι, ἰδίως δὲ Ἀρτέμιδος 38
[[ὕμνος]] [οὔπιγγος], Ἀπόλλωνος ὁ παιάν, ἀμφοτέρων προσόδια, Διονύσου διθύραμβος, Δήμητρος ἴουλος· λίνος γὰρ καὶ λιτυέρσης σκαπανέων ᾠδαὶ καὶ γεωργῶν.

V om eadem quae A

M om l 5 Κόρης—6 θεογάμια ‖ 7 Ἀπόλλωνος—8 Ἑκατήσια ‖ 13 λίνος—λιτιέρσης

3 Μουσαῖα AVM ‖ 6 ἀνθεσμοφόρια MV ‖ 8 τροφωνίαι M Τροφωνίου Τροφώνια om F ‖ 9 ἂν] ἀνα M ἄν τι V | αἱ MVF ἡ ἐκ—κλῆσις C ‖ 12 ὕμνος] μὲν M | οὔπιγγος] ὁ πιγγός M ὁ ὑπινος B οὔπιγγες C | Ἀρτέμιδος—οὔπιγγος post παιάν transponit SC | προσῳδια Π ‖ 13 λιτέρσης A λιτυέρσας V λιτυγέρσας Π λιτιέρσας C ‖ 13—14 σκαπαναίων M καπανέων S καὶ πανέων F

3—10 Cf Roberti indicem in Prelleri Rob. Mythol Gr I 961 sqq ‖ 7 Ἐφέσια] Hes Ἐφέσια· ἀγὼν ἐν Ἐφέσῳ ἐπιφανής ‖ 7 Κρόνια] Phot, Lex Patm p 147 Et Gud 586. 38 ‖ 9 Ἀνάκεια] Hes, Et M ‖ 11 sqq v IV 530 sqq uberiora. Cf Athen XIV 618 sq, Procli chrestom in Phot bibl p 320a, 20 sqq, 25 sqq, Kaibel Prol περὶ κωμῳδ. C G F I 33 sqq ‖ 11—12 παιάν] Procl Schol Dion Thr Cram An Ox IV 314. 1, Orion 155. 22, Et M 657. 3, Et Gud 446. 51, Athen XV 696 A—697 A, Schol A B T ad A 473, Apoll Soph 126. 7, Schol Aristoph Plut 636, Schol Eur Phoen 1102, Cyrill Vallic E 11 παιᾶνα· ᾠδὴ ἐπὶ ἀπαλλαγῇ κακῶν—παιήονα· παιὰν [ου] ᾠδὴ εἰς Ἀπόλλωνα, Hes (inde Schol Plat Symp 177 A), Bachm L 324. 9 (Phot Suid) ‖ 11 ὕμνος] Procl Tzetz ad Lycophr p 249. 258. 259 Mueller, Schol Dion Thr Cram An Ox IV 313. 30, Orion 155. 22, Et M 777. 1, Et Gud 540. 38. 42. 46, Ammon p 139, Doxopater Walz Rh Gr II 194. 413 ‖ 12 οὔπιγγος] Athen XIV 619 B, Schol Apollon Rh I 972 (Δίδυμος cf Kaibel Abhdlg Gött Ges NF II 42) | προσόδια] Procl Schol Dion Thr Cram An Ox IV 314. 7, Orion 155. 22, Et M 777. 6 sqq, 690. 33. 41, Hes. Aliter Schol Aristoph Av 853 (Suid^{I}) ‖ 13 διθύραμβος] Procl Tzetz ad Lycophr p 249. 251. 252 Mueller, περὶ διαφ. ποιη. 9. 141—155, Schol Dion Thr Cram An Ox IV 314. 11, Schol Clem Al p 413. 9 Dind, Et M 274. 45, Et Gud 146. 23. 42, Gloss Herodot I 4. 23 (Suid) | ἴουλος] Schol Apollon Rhod I 972, Athen XIV 618 D E Phot^{II}, Et M 472. 30. Aliter Phot^{I}, Suid | λίνος] Hes. Aliter Schol A B T ad Σ 570 (Suid),

προcαπτέον δὲ τούτοιc θεοὺc ὁρκίουc. ὅρκον ὀμνύειν, ὀμνύναι — τὸ δὲ ὀμόcαι ἐλέγετο καὶ πίcτιν ἐπιθεῖναι — ὁρκωμοτεῖν, ὁρκωμοcία
39 [A][BC]ὁρκωμόταcBC]], [FS]ὁρκῶcαι, ὁρκωτούcFS], [B]ὁρκιητόμουcB], εἰ μὴ cκληρόν. εὐορκεῖν, ἐμπεδοῦν ὅρκοιc. εὔορκον, εὐώμοτον. εὐορκία καὶ ἐπιορκία, ἐπίορκον, δυcώμοτον. ὁρκοῦν, ἐξορκοῦν, ἐνόρκωc τι εἰπεῖν, [ἐνωμότωc τι εἰπεῖν]. ἔνορκον, ἐνώμοτον. ἄνορκον, ἀνώμοτον. ἐπιορκῆcαι θεούc, εὐορκῆcαι φρικώδειc ὅρκουc καὶ θεὸν δύcμηνιν καὶ βαρύμηνιν καὶ δυcόργητον.

40 Καὶ περὶ μὲν θεῶν ἀρκείτω τοcαῦτα· βαcιλέα δὲ ἐπαινῶν λέγε πατήρ, ἤπιοc, πρᾷοc, ἥμεροc, προνοητικόc, ἐπιεικήc, φιλάνθρωποc, μεγαλόφρων, ἐλευθέριοc, χρημάτων κρείττων, ἔξω παθῶν, ἑαυτοῦ κρατῶν, ἄρχων ἡδονῶν, λογιcμῷ χρώμενοc, ὀξύc, ἀγχίνουc, περιεcκεμμένοc, εὔβουλοc, δίκαιοc, cώφρων, θεῶν ἐπιμελήc ἀνθρώπων κηδεμών, cτάcιμοc, βέβαιοc, ἀνεξαπάτητοc, μεγαλογνώμων, ἰcχυρογνώμων, ἐνεργόc,
41 τελεcιουργόc, φροντιcτὴc τῶν ἀρχομένων, cωτήρ, πρόχειροc εἰc εὐεργεcίαν βραδὺc εἰc τιμωρίαν, ἀcφαλήc, ἀπλανήc, ἀκλινήc, ἀκριβέcτεροc πρὸc τὸ δίκαιον ζυγοῦ, [FSBC]εὐπρόcιτοcBCFS], εὐπρόcοδοc, εὐπροcήγοροc, εὐέντευκτοc, μειλίχιοc, προcηνήc, ἐπιμελὴc τῶν ὑπηκόων, φιλοcτρατιώτηc, πολεμικὸc μὲν οὐ φιλοπόλεμοc δέ, εἰρηνικόc, εἰρηνοποιόc, εἰρηνοφύλαξ, παιδευτικόc, ἀρχικόc, νομοθετικόc, εὖ ποιεῖν πεφυκώc, θεο-
42 ειδήc. πολλὰ δέ ἐcτιν ἃ λόγῳ τιc ἂν εἴποι καὶ οὐκ ὀνόματι. ψέγων

V om praeter ea quae A, etiam l 3 ὁρκῶcαι ὁρκωτούc, sed habet 3 ὁρκωμόταc || 17 εὐπρόcιτοc et εὐπροcήγοροc

M om l 3 ὁρκωμόταc ὁρκῶcαι | εἰ μὴ cκληρόν || 4 ὅρκοιc || 6 ἄνορκον || 10—11 μεγαλόφρων || 15 φροντιcτὴc — εὐεργεcίαν || 17 εὐπρόcιτοc || 20 ἀρχικόc

1 προcακτέον MVΠ, in C inter α et τ rasura || 2 ὀμῶcαι λέγεται Π | πίcτιν] A in margine: γρ. ὅρκον | post ὁρκωμοcία Π add διορκῶcαι | ὁρκωτάc MC || 3 ὁρκιτόμουc A ὁρκηϊτόμουc Π || 4 ἐμπεδεῖν M | ὅρκουc ΠC | post εὔορκον B add εὐόρκωτον | εὔορκον bis A || 5 ἐνορκωτι MBC | ἐνομῶτί δεῖ εἰπεῖν B || 6 ἐπιορκεῖcθαι MΠC || 7 εὐορκεῖcθαι MC ἐπευορκῆcαι S Hic add ἐπϊορκῆcαι ΠC | post ὅρκουc add M ποιεῖcθαι || 7—8 δυcάγητον B || 9 ἀρκεῖ AVMB | βαcιλέα δὲ] περὶ βαcιλέωc ΠBC || 11 ἐλεύθεροc Π || 13 ἐπιμελητὴc ΠBC || 17 πρὸc] περὶ B || 18 ἐπιμελητὴc B || 19 post φιλοπ. δέ M add φιλώκληροc || 21 ὀνομαcτί C

Athen XIV 619 C, Schol Eur Or 1396, Gloss Herodot II 19. 79 (Suid) | λιτυέρcηc] Athen XIV 619 A, Ael VH I 27, Schol Theocr X 41, Phot[I], Hes, Phot[II], Suid

2 ὁρκωμοτεῖν] Phot (Ἀριcτοφάνηc Βαβυλωνίοιc) || 3 ὁρκιητόμουc] Apollon Dysc de adv 189. 9 R Schneider Ἴωνεc δὲ τοὺc ὁρκιοτόμουc ὁρκιητόμουc (ὁρκιηφόρουc cdd) φαcί. Cf Lobeck Phryn p 656 || 14 εὐπρόcοδοc] Thucyd I 6

δ' ἐρεῖc τυραννικός, ὠμός, θηριώδης, βίαιος, πλεονέκτης, φιλοχρήματος καὶ τὸ τοῦ Πλάτωνος(?) ⟦ἐρασιχρήματος⟧, ⟦ἅρπαξ⟧ καὶ τὸ τοῦ Ὁμήρου (A 231) δημοβόρος, ὑπερόπτης, ὑπερήφανος, δυcπρόcιτος, δυcπρόcοδος, δυcπροcήγορος, δυcέντευκτος, δυcόργητος, δύcθυμος, ἔμπληκτος, ταραχώδης, ἡδονῶν ἥττων, ἀκρατής, ἀκράτωρ, ἀλόγιστος, μιcάνθρωπος, ἄδικος, ἄβουλος, ἄνιcος, ἀνόcιος, νοῦ κενός, ἐῦκολος, εὐμετάβολος, εὐεξαπάτητος, ῥᾳδίως ⟦[[[ἐκφερόμενος]]]⟧, ἀνήμερος, ἐπιθυμίαις ἐνδιδούς, ἀκόλαστος, ὑβριστής, πολεμοποιός, βαρύς, ἐπαχθής, δυcκάθεκτος, ἀφόρητος.

Λέγε δὲ περὶ τοῦ μὴ βραδύνοντος ἕτοιμος, πρόχειρος, πρόθυμος, 43
ἄοκνος, ταχύς, ὀξύς, ἔντονος, ἐνεργός, ἀπροφάcιcτος, τῷ καιρῷ χρώμενος, ἐγρηγορώς, cπουδαῖος, οὐδὲν ὑπερτιθέμενος, οὐδὲν ὑπερβαλλόμενος. ⟦περὶ δὲ τοῦ ἐναντίου⟧ ⟦βραδύc⟧, μελλητής, ⟦[[νωθρός]]⟧, νωθής, cχολαῖος, ἀμελής, ἀμβλύς, ἀργός, διάγων, διαμέλλων, ὑπερβαλλόμενος, ὑπερτιθέμενος, cτρεφόμενος, τὸν καιρὸν παριείc. καὶ τὰ πράγματα τοῦ μὲν ἑτοιμότης, ὀξύτης, ἐγρήγορcις, προθυμία, cπουδή, τάχος· τοῦ δὲ cχολή, cχολαιότης, μέλληcις, μελλημός, βραδυτής, ἀναβολή, νώθεια, ἀργία, τριβή. τὸ γάρ τοι τριψημερεῖν εἴρηται μέν, οὐ μὴν ἔμοιγε ἀρέcκει.

Λέγοις ἂν περὶ βεβαίου βαφῆc δευcοποιός, ἀνέκπλυτος, μό- 44
νιμος, ἔμμονος, ἐγκρατής, ⟦ἀνεξάλειπτος⟧, ἀνεξίτηλος, ἀνέκρυπτος, ἀνέκνιπτος, ⟦ἀνέκτριπτος⟧, ἀνθοῦca, εὐανθής, ἀνθηρά. περὶ δὲ τῆc

---

V om praeter ea quae A, etiam l 2 ἅρπαξ

M om l 2 καὶ τὸ — ἐρασιχρήματος | καὶ τὸ — Ὁμήρου || 3 δυcπρόcιτος || 4 δυcπροcήγορος || 6 ἀνόcιος || 8 ὑβριστής — 9 λέγε δὲ || 12 νωθρός || 13 ἀμελής | διάγων || 16 τάχος || 17 τὸ γάρ τοι — 18 || 21 ἀνέκνιπτος — ἀνθοῦca

1 δ' ἂν AVMB | πλεονεκτικός VMΠC || 1—2 φιλ. ἐρασιχρ. τὸ τοῦ Πλ. καὶ τὸ τ. Ὁμ. A || 2 ἐρασιχρήματος in philosophi libris non legitur, ergo aut comici est aut interciderunt et Platonis glossa et auctor huius verbi, fortasse Xenophon, cuius in Memorab I 2. 5 ἐρασιχρήματος invenitur. Ceterum cf I 64 ubi Plato pro Xenophonte || 4 δύcτευκτος F δύcευκτος S || 6 ἀνόcιος ante ἄδικος AV | εὔκολος] δύcκολος M || 7 ῥάδιος Cdd corr Wilam, Π add μιcάνθρωπος iterum | post ἐνδιδούς A add ἑαυτόν || 8 δυcκάθεκτος Xenoph Mem IV 1. 3, 4 δυcακάθεκτος Π ἀκάθεκτος AVBC || 9 βραδύνην ἔτυμος M || 11 ἐγρήγορος AVMΠ || 12 νωθρός B sol cf IV 122 || 13 ἀμελὴς post ἀργὸς transponunt AV || 19 δ' ἂν Π || 20—21 ordinem immutant BC || 20 ἀνεξάλειπτος] ἀνεξίλυτος C, Π add ἀνεξήλυτος ante ἀνεξάλειπτος | ἀνεξίτηλος] ἀνεξίτητος MFC, B add idem post ἀνεξίτηλος || 21 ἀνέκτριπτος om S

---

2 ἐρασιχρήματος] cf Hes || 9 sqq cf III 120 || 17 τριψημερεῖν] Aristoph Vesp 849, Hes sine vituperatione || 19 δευcοποιός] Plat Rpbl IV 429 E, Alexis II frg 348 Ko, Dinarch II 4

ἐναντίας ⟦ἀβέβαιος, ⟦ἔκπλυτος⟧, ἐξίτηλος, εὔρυπτος, εὐέκρυπτος, εὐ-⟧ ⟦έκπλυτος, ⟦εὐέκνιπτος⟧⟧, ἀκρατής, ἀνανθής⟧. ἔστι δ' εἰπεῖν καὶ ἀνεῖναι τῆς βαφῆς. ⟦τὸ δὲ ἔργον ἐκπλῦναι, ἐκνίψαι, ⟦⟦ἐκτρῖψαι⟧⟧, ἐκρύψαι⟧, ⟦ἀπορρύψαι⟧.

45 ⟦πάλιν δέ σε διαναπαύων, ὅπως μὴ κάμῃς πρὸς ἓν εἶδος ἀποβλέ-⟧ ⟦πων, ἐρῶ περὶ πορφύρας, ὅπως τὴν ἀρχὴν εὑρέθη⟧. Τύριοι λέ-γουσιν ⟦ὡς⟧ Ἡρακλῆς ἠράσθη νύμφης ἐπιχωρίας· Τύρος δ' ἦν τῇ νύμφῃ τοὔνομα. εἵπετο δ' ἄρα τῷ Ἡρακλεῖ ⟦⟦καὶ⟧⟧ κύων ⟦κατὰ δὴ⟧ ⟦τὸν παλαιὸν νόμον· οἶσθα γὰρ ὅτι τοῖς ἥρωσι συνεισῄεσαν μέχρι τῶν⟧ 46 ⟦ἐκκλησιῶν οἱ κύνες⟧. ὁ τοίνυν Ἡράκλειος κύων κατὰ πέτρας ἕρπου- 10 σαν πορφύραν θεασάμενος, προυχούσης αὐτῇ τῆς σαρκός, ἐνδακὼν ὁ μὲν τὴν σάρκα ποιεῖται τροφήν, ὁ δὲ λύθρος ἄρα τὰ χείλη τοῦ κυνὸς αἱμάξας ἐφοίνιξεν. ⟦ὡς δὲ ἦκεν ὁ ἥρως παρὰ τὴν κόρην, ἥσθη θεασα-μένη⟧ τὰ χείλη τοῦ κυνὸς ἀνθοῦντα ἀήθει βαφῇ, καὶ οὐκ ἔφη προσή-σεσθαι τοῦ λοιποῦ τὸν Ἡρακλέα, εἰ μὴ αὐτῇ κομίσειεν ἐσθῆτα τῶν 15 47 τοῦ κυνὸς χειλῶν ⟦ἰοειδεστέραν⟧. ὁ ⟦μὲν⟧ τοίνυν Ἡρακλῆς ἐξεῦρέ τε τὸ ζῷον καὶ τὸν λύθρον συνελέξατο καὶ τὸ δῶρον ἐκόμισε τῇ κόρῃ, πρῶτος γενόμενος εὑρετὴς τῷ Τυρίῳ λόγῳ τῆς Φοινίσσης βαφῆς. ⟦τὰ ⟦δὲ νῦν οἱ Φοίνικες ὧδε θηρῶσι ⟦τε⟧ τὸ ζῷον, καὶ τὸ ἔριον χρων-⟧ ⟦νύντες δολοῦσιν ὡς πρὸς τὴν ὄψιν ἀνθεῖν. σχοινίον πλεξάμενοι παμ-⟧ 20

V om praeter ea quae A, sed habet 8 καὶ ante κύων ‖ 19 τε post θηρῶσι

M om 1—2 εὐέκπλυτος ‖ 7 ὡς ‖ 8 κατὰ δὴ — 10 κύνες ‖ 19 ὧδε ‖ 20 ἀνθεῖν — p 15. 17 μεταχρώννυται

1 ἔκπλυτος] εὐέκπλυτος AV qui idem l 1—2 om | εὐέκρυπτος] εὐέκτριπτος V ‖ 3 τὴν βαφήν A ‖ 4 ἀπορρίψαι A ἀποτρίψαι V ‖ 5 δή σε S δεῖσαι F | διανα-παύσω Π ‖ 5—6 ἀποκάμοις post ἀποβλέπων M ‖ 6 καὶ ἐρῶ Π | πορφυρίδος M ‖ Inde a l 6 § 45—49 e codice F descripsit Eudocia personata c 58 B p 73 sq ed Flach ‖ 6—7 Τ. λ. Ἡρακλέα ν. ἐρασθῆναι ἐπ. τοὔνομα τῇ νύμφῃ Τύρῳ C ‖ 8 δὲ παρὰ M | καὶ] ὡς V—κύων ἔτει παλαιῷ C ‖ 10 τῆς ἐκκλησίας B ‖ 13 παρὰ] περὶ AV | ἥσθη] αὖτη B ‖ 13—14 θεασάμενος AV ‖ 14 βαφῇ ἰδοῦσα δὲ καὶ ἡ κόρη οὐκ A βαφῇ ἀήθει θεασαμένη ἡ κόρη. οὐκέτι τοῦ λοιποῦ προσης. C ‖ 14—15 προσήκεσθαι M προσήκασθαι B προσήεσθαι S προσίεσθαι F ‖ 16 χειλέων ABC | εὐοιδοιτέραν M εὐειδεστέραν B φέρουσαν τὴν βαφὴν. ἐξευρὼν οὖν ὁ Ἡρακλῆς τὸ ζῷον καὶ προσήνεγκε τῇ νύμφῃ τὴν στολὴν, πρῶτος εὑρετὴς γ. = l 18 C ‖ 17 συνελέξατο] ἀνελέξατο B ‖ 20 δηλοῦσιν A

---

5 Cf Achillis Tati de Clitoph et Leucipp II c 11, qui Tyriam hanc fabulam sed de pastore narrat, Nonni Dionys XL 304—310 | De Hercule sicut Pollux Palaephatus in Chronic Paschal p 78 Bonn = Westermanni Mythogr Gr p 310. 52, Malalae Chronic p 36, Johannes Antiochen § 16 in Muelleri FHG IV p 544 ‖ 9—10 Schol Hom β 11 ‖ 20 Schol Aristoph Eq 1150

⸢μῆκεϲ, ἰϲχυρόν τε καὶ καρτερὸν ὡϲ ἐνθαλαττεύειν δύναϲθαι, τούτου⸣
⸢ϲυνεχεῖϲ ὥϲπερ κώδωναϲ ἐξαρτῶϲιν ἐκ μετρίων διαϲτημάτων, κυψέλαϲ⸣
⸢ἐκ ϲπάρτου τινὸϲ ἢ ϲχοίνου διαπλεξάμενοι. δαϲεῖαι δ᾽ εἰϲὶ τὰ κατὰ⸣ 48
⸢τὴν εἴϲοδον· τὰ γὰρ τῶν ϲπάρτων ἢ τῶν ϲχοίνων τέλη περὶ τοῖϲ⸣
⸢ϲτόμαϲι τῶν κυψελῶν ἐξεπίτηδεϲ ἀνέχειν ἐῶϲιν, ὡϲ τῷ μὲν παριόντι⸣
⸢ῥᾳδίωϲ εἴκειν καὶ διίϲταϲθαι, ἀναχώρηϲιν δὲ εἰϲ τοὔμπαλιν μηδὲ ἀνα-⸣
⸢ϲτροφὴν τῷ παρελθόντι ἐνδιδόναι. ταύταϲ τὰϲ κυψέλαϲ δελεάϲαντεϲ⸣
⸢οἱ πορφυρεῖϲ ἐν τοῖϲ πετρώδεϲι καθιᾶϲι, τὸ καλώδιον φελλοῦ τινὸϲ⸣
⸢ἐξάψαντεϲ ὡϲ ἀνέχειν τὸ θήραμα. διαλιπόντεϲ δὲ ⸢νύκτα ⸣[FS]⸢μίαν⸣[FS]⸢⸣⸣
⸢καὶ ἐφημερεύϲαντεϲ ὡϲ ἐπὶ τὸ πολὺ τὰϲ κυψέλαϲ ἔμπλεωϲ τῶν ζῴων⸣
⸢ἀνέλκουϲιν. ἔπειτα κοψάμενοι τὸ ὄϲτρακον ἐν ταὐτῷ καὶ τὴν ϲάρκα⸣ 49
⸢⸣[FS]⸢καὶ⸣[FS] ταριχεύϲαντεϲ ⸢⸣[FSB]⸢φυλάττουϲιν⸣[BFS]⸢ εἰϲ δευϲοποιίαν. ⸢⸣[FSB]⸢ὅταν δ᾽⸣[BFS]⸢⸣
⸢⸣[FSB]⸢ἐκείνῃ χρῆϲθαι ἐθέλωϲιν⸣[BFS]⸢, ὕδατι τὴν ἄϲιν ἀποκαθήραντεϲ, ἐνέψουϲιν⸣
⸢ἐμπύρῳ λέβητι τὸ θήραμα τὸ θαλάττιον, τὸ δ᾽ αἷμα ἐπειδὰν πυρὶ⸣
⸢ὁμιλήϲῃ, χεῖταί τε καὶ ἐξανθεῖ, καὶ τὸ μὲν ξανθίζεται, τὸ δὲ κυαναυγὲϲ⸣
⸢γίνεται, τὸ δὲ ἄλλο εἰϲ ἄλλην χρόαν τρέπεται· καὶ ὅ τι ἂν καθῇϲ⸣,
⸢πᾶν τὸ ϲυγγενόμενον τῷ αἵματι πρὸϲ τὴν ἐκείνου χρόαν μεταχρών-⸣
⸢νυται. χαίρει δὲ ἡλίῳ ὁμιλοῦϲα τῆϲ πορφύραϲ ἡ βαφή, καὶ ἡ ἀκτὶϲ⸣
⸢αὐτὴν ἀναπυρϲεύει, καὶ πλείω ποιεῖ καὶ φαιδροτέραν τὴν αὐγήν,⸣
⸢ἐκφοινιϲϲομένην ἐκ τοῦ ἄνω πυρόϲ⸣.

Ἔμποροι καὶ κάπηλοι ⸢καὶ μεταβολεῖϲ⸣ οἱ ὀρθοί τι πράττοντεϲ· 50
οἱ δὲ καθήμενοι βάναυϲοι, καὶ ἡ ἐργαϲία αὐτῶν βαναυϲία ⸢⸣[ABC]⸢καὶ
βαναυϲουργία⸣[BC]⸢⸣. ἐργάται, χειροτέχναι, χειρουργοί, ἀποχειροβίωτοι,
δημιουργοί· καὶ χειροτεχνία ⸢καὶ χειρουργία καὶ δημιουργία⸣. ἑδραῖοι
τεχνῖται· τὸ γὰρ χειρογάϲτορεϲ Ἑκαταῖοϲ (FHG I frg 359) λεγέτω, καὶ
τὸ χειρώνακτεϲ Ἡροδότῳ (I 93, II 141) δεδόϲθω.

V om praeter ea quae A, etiam l 12 ὅταν—13 ἐθέλωϲιν

M om l 1—17 μεταχρώννυται ‖ 23 ἀποχειροβίωτοι—24 δημιουργοί ‖ 24 ἑδραῖοι —25 τεχνῖται

1 τοῦτο A τούτῳ VB ‖ 2 ϲυνεχῶϲ A | ὥϲπερ δέ A ‖ 3 ϲχοινίου B semper, ante διαπλ. add A Π τὰϲ κυψέλαϲ | πλεξάμενοι Π ‖ 5 ἀνέχειν] ἀνέδην AV ‖ 10 δϊεφημερ. B ‖ 12 εἰϲ] ἐπὶ AVB | ὅταν δὲ ἐπὶ δευϲ. A ‖ 13 ἆϲιν Π ἄϲην B ἄϲϲην V ῥύπον A, cf Cobet Var lect p 361 | ἀποκαθαίραντεϲ A ἐκκαθήραντεϲ B ‖ 14 ἐν πυρὸϲ B | τὸ θαλάττιον θήραμα A ‖ 15—16 κυανὸν αὐταῖϲ γ. Π ‖ 16 et 17 χροιὰν AV ‖ 17 πρὸϲ] εἰϲ AV | ἐκείνου] αὐτοῦ B ‖ 18 δὲ] τε VM qui ἐν add ‖ 19 αὐγήν] αὐτήν A ‖ 23 ἀπειρόβιοι B ἀποχειροβίωτοι, δημιουργοί post δημιουργία transponit Π ‖ 25 Ἑκατέωϲ M

21—26 cf VII 6, 7 plura ‖ 23—25 ἀποχειροβίωτοι] Hes ἀποχειρόβιοι. οἱ ἁλιεῖϲ (cf Herod III 42 ubi ἀποχειροβίοτοϲ ABR). καὶ χειρώνακτεϲ καὶ ἐγχειρογάϲτορεϲ οἱ τεχνῖται, Suid ἀποχειρόβιοι. Legitur ἀποχειροβιώτων in Xenoph Cyrop VIII 3. 37 ‖ 25 at Nicophontis comoedia est Χειρογάϲτορεϲ

51 Εὐφορία, φορά, εὐετηρία, εὐθηνία, [εὐκαρπία, πολυκαρπία, κἂν] [βιάζηταί τις, πολυσιτία, εὐπορία γῆς]. καὶ λόγῳ, ἀξιωτάτης οὔσης τοῦ σίτου τῆς ἀγορᾶς, [πληθούσης τῆς ἀγορᾶς], τῶν πυρῶν σωρηδὸν κεχυμένων, ἐπευωνισμένων τῶν πυρῶν, τῆς τιμῆς τοῦ σίτου καταβεβηκυίας ἢ κατελήλυθυίας, ἀφθόνων ὄντων [τῶν ἀναγκαίων], [[[τῶν 5
52 [ἀγαθῶν]]] χύδην κειμένων, εὐπραγίας οὔσης περὶ τὴν ἀγοράν, ῥᾳδίας [οὔσης τῆς περὶ τοὺς πυροὺς διαθέσεως, πολλῆς μὲν πράσεως οὔσης] [πολλῆς δ' ὠνῆς. καὶ ἑτέρως]. δικαίας τῆς γῆς γενομένης περὶ τὴν φοράν, [[[εὐφόρου τῆς γῆς γενομένης]]], [τῆς] γῆς ἀμειψαμένης τὸν πόνον τῶν γεωργῶν. [τὸ δ' ἐναντίον] λιμός, ἀφορία, δυσετηρία, 10
ἀκαρπία, ἔνδεια τροφῶν, ἐπίλειψις τῶν ἀναγκαίων, σίτου σπάνις, σπανοσιτία, ἀναβεβηκυίας τῆς τιμῆς τῶν πυρῶν, [ἐπιτετιμημένων τῶν πυ-[ρῶν, οὐκ ὄντων τῶν ἀναγκαίων, ἐπιλελοιπότων τῶν εἰς [τὴν] ἡμέραν]
53 [[[ἐπιτηδείων]]], οὐκ οὐσῶν τροφῶν], κακοπραγίας οὔσης περὶ τὴν ἀγοράν, [οὐκ εὐπραγούσης τῆς ἀγορᾶς, ἀφόρου τῆς γῆς γενομένης], 15
[ἀδίκου τῆς γῆς [γενομένης], ἀντειπούσης τῆς γῆς τοῖς γεωργοῖς]. [καὶ ἑτέρως. ἀντέπραξεν ἡ γῆ τοῖς γεωργοῖς, οὐχ ὑπήκουσεν], οὐκ ἀπέδωκε τὰ ἐκφόρια. δύναται δέ τις εἰπεῖν καὶ πνεῦμα τὰς ἀρούρας ἐπέφλεξεν, ἄνεμος τοὺς ἀστάχυς ἐκένωσεν, ὕδωρ τοὺς καρποὺς οὐκ ἔθρεψεν, [[ἢ]] ὄμβρος τοὺς καρποὺς ἐπέκλυσεν], ἢ αὐχμὸς ἐνέσκηψεν, 20
[ἢ ἄβροχος ἡ γῆ διέμεινεν, ἢ ἐδίψησαν οἱ καρποί, ἢ ἐρυσίβη τοὺς] [καρποὺς κατέλαβεν ἢ πάχνη ἢ διαφθορά].

54 Ἐνιαυτός, ἔτος, δωδεκάμηνος χρόνος, ἡλίου περίοδος, περιελθόντος ἐξ ὡρῶν εἰς ὥρας τοῦ θεοῦ, τὸν κύκλον τοῦ ἄστρου περιδραμόντος. ἡμίετες καὶ ἡμιέτης χρόνος, καὶ διέτης δὲ καὶ τριέτης, καὶ 25

V om eadem quae A

M om l 1 πολυκαρπία — 2 τις ‖ 3 πληθούσης τῆς ἀγορᾶς ‖ 5 ἀφθόνων — 6 κειμένων ‖ 12 ἐπιτετιμημένων τῶν πυρῶν ‖ 16 ἀδίκου — γενομένης ‖ 23 ἔτος

1 εὐθενία Π ‖ 2 εὐπορία] εὐπραγία Π | λόγου A ‖ 3 πληρούσης Π πλήρους οὔσης C ‖ 4 ἐπεωνημένων AV ἐπὶ ὑνισμένων M ‖ 4—5 καταβεβληκυίας AV ‖ 6 εὐπρασίας Π ‖ 9 ἀφόρου B ‖ 10 δυσευετηρία M ‖ 11—12 post σπανοσιτία C add καὶ διὰ τοῦ λόγου ἐκ τοῦ ἐναντίου τῆς εὐθηνίας ‖ 12—13 ἐπιτ. — πυρῶν AV post ἀναγκαίων ‖ 14 περὶ] ἐς C ‖ 15 εὐπραγούσης] εὐπραγίας οὔσης V εὐπραγίας ἐχούσης A ‖ 16 ἀδίκου] ἀοίκου A ἀείκου V ‖ 17 ἡ γῆ] ἡμῖν B ‖ 18 δὲ καὶ Π ‖ 19 ἀστάχυας MS στάχυας F ‖ 21 ἔμεινεν ΠM ‖ 23 δώδεκα μῆνες Π ‖ 25 δίετες—τρίετες ΠBC | δὲ] τε VMC, post διετὲς δὲ MB sic pergunt περὶ (δὲ B) τοῦ διετοῦς (-τῆς B) ἕως δεκαετῆς· καὶ ἐφεξῆς περὶ πάντων

11—12 σπανοσιτία] Aristoph Byz π. τ. ὑποπτευομένων μὴ εἰρῆσθαι τοῖς παλαιοῖς Miller Mél 427 ἡ τ. τροφῶν ἔνδεια, Eustath 1402. 1 qui affert Xenoph Hell IV 8. 7 ‖ 25 sqq Aelii Dionysii L ap Eustath 341. 4 (Schwabe p 144) . . . διέ-

μέχρι δεκαέτους, ἐπὶ μὲν χρόνου παροξυνόντων, ἐπὶ δὲ παιδίου καὶ φυτοῦ καὶ οἴνου καὶ τῶν τοιούτων ὀξυνόντων, ⟦ὡς⟧ ἐπὶ τοῦ διετὴς μέχρι τοῦ δεκετής. ὁ δὲ ἐνδεκαέτης σκληρότερόν ⟦μοι φαίνεται⟧, ἄμεινον 55 οὖν διαλύσαντας εἰπεῖν ἑνοσκαίδεκα ἐτῶν καὶ δυοκαίδεκα, συνάπτοντας μετὰ τοῦ καὶ, ⟦[C]καὶ[BC]⟧ τὸν σύνδεσμον ὀξύνοντας. εἶτα τρεισκαιδεκαέτης παροξυντέον, καὶ πάλιν τετταρωνκαίδεκα ἐτῶν, καὶ τετταρακαίδεκα ἔτη γεγονώς. εἶτα καὶ πεντεκαιδεκαέτης ⟦καὶ ἑκκαιδεκαέτης καὶ ἑπτακαιδεκαέτης⟧, ἃ παροξυντέον· καὶ πάλιν ὀκτωκαίδεκα γεγονὼς ἔτη καὶ ἐννεακαίδεκα, ὁμοίως τῷ δυοκαίδεκα. εἶτα εἰκοσαέτης, καὶ λοιπὸν ἑνὸς 56 καὶ εἴκοσι, καὶ ἐφεξῆς ἀπὸ τοῦ ἐλάττονος ἀριθμοῦ ὁμοίως ἄχρι τῶν τριάκοντα ⟦ἐτῶν⟧. εἶτα τριακοντούτης, καὶ πάλιν ἀπὸ τοῦ ἐλάττονος ⟦ἀριθμοῦ⟧ ⟦[FS]μέχρι τῶν ⟦[C]τετταράκοντα[BCFS]⟧, καὶ τετταρακοντούτης, ⟦[FSC]καὶ[BCFS]⟧ πεντηκοντούτης, καὶ τἆλλα ὁμοίως. καὶ ⟦τριακοντούτεις⟧ ⟦[A]FS]καὶ τριακοντούτιδες[BFS]⟧ σπονδαί. ῥητέον δὲ τοῦ ἐνεστῶτος ἔτους, τοῦ παρόντος ⟦ἔτους⟧, τοῦδε τοῦ ἔτους, ⟦[A]τούτῳ τῷ ἔτει, ἐπ᾽ ἔτος⟧, τῆτες[B]· πέρυσι, τοῦ ἐξελθόντος ἔτους, τοῦ παρελθόντος, ⟦τοῦ προανυσθέντος⟧,

---

V om praeter ea quae etiam l 3 μέχρι τοῦ δεκέτης ‖ 12 μέχρι τῶν τετταράκοντα

M om 7 γεγονώς—πεντεκαιδεκαέτης καὶ ‖ 8 γεγονὼς ‖ 11 καὶ πάλιν—τετταράκοντα ‖ 13 καὶ τριακοντούτεις—14 σπονδαί ‖ 15 τούτῳ—16 πέρυσι

1 χρόνων A | προπαροξυνόντων AV ὀξυνόντων M | παιδίου] cítou C ‖ 3 δεκαέτης ΠBC περὶ δὲ τοῦ ἑνδεκαέτους M ἑνδεκέτης AV | ἄμεινον] μόνον M ‖ 4 οὖν] δὲ AVBCM | διαλυσάντων M | συνάπτοντα AVMC ‖ 5 ὀξύνειν AVMΠC | μετὰ τοῦ καὶ συνδέσμου, αὐτὸν τὸν σύνδ. M τὸν καὶ σύνδ. ΠC τρισκαιδεκ. AVΠBC ‖ 6 προπαροξυντέον V οὐ γὰρ ὀξυντέον B | τέτταρα καὶ δεκαέτης VS | κ. τετταρ. ἔτη om F ‖ 9 ἔτη ante ὁμοίως add Π | ὁμοίως] καθὼς M | ἓν Π ‖ 11 ἀπὸ] ἐκ AV | ἐλάττονος μ. τοῦ τετταρακοντούτης εἶτα ὁμοίως μέχρι τ. πεντ. l 13 C ἐλ. ἀρ. μ. καὶ τετταρακοντούτης, πεντ. B | τεccαρ. cd ‖ 13 τἆλλα] πάλιν Π ‖ 14 ῥητέον δὲ] καὶ ταῦτα add AV καὶ add M ‖ 15 τοῦ ἔτους, τῆτες· οὕτω λέγεται τὸ ἐπέτος. πέρυσι C τοῦ ἔτους παρ᾽ ὀχηκότως δὲ οὕτως τοῦ ἐξελθ. = 16 M ‖ 16 πέρυσι in B ante τοῦδε l 15 | παρελθόντος] ἔτους add MΠ

της τριέτης πεντέτης καὶ πάντα τὰ ὅμοια βαρύνουσι Ἀττικοί . . . Choeroboscí ὀρθογραφία (Crameri An Ox II 269. 15) τριακονταετὴς ἄνθρωπος ὀξυτόνως· τριακονταέτης δὲ χρόνος ἐστὶν . . . Et M 765. 23 sqq, Suid τριακονταετής· ἐπὶ τῶν ἡλικιῶν ὀξύνεται οἷον ἐναετὴς ἄνθρωπος, ἐπὶ δὲ τῶν χρόνων βαρύνεται, οἷον ἐναέτης . . .

3 Phrynich Ecl πενταετηρικὸς ἀγὼν καὶ πενταετηρὶς μὴ λέγε, ἀλλ᾽ ἀφαιρῶν τὸ ἁ πεντετηρὶς καὶ πεντετηρικὸς ἀγών. Thom Mag p 203, Lobeck Phrynich p 406 ‖ 4 sqq cf Lobeck Phrynich 408 sq cum nota 2 ‖ 13 τριακοντούτιδες σπονδαί] Thucyd I 87, 6, Aristoph Ach 252, Eq 1388, Phot (Et M 765. 22), Suid τριακοντούτης, Choerob in Theod I p 168 Hilgard (Et M 765. 24) ‖ 15 τῆτες]

[τοῦ ἐξήκοντος], [[τοῦ παρελληλυθότος]], [τοῦ παυσαμένου], τοῦ λή-
57 ξαντος, ταῖς παρελθούσαις ὥραις· τοῦ μέλλοντος ἔτους, τοῦ εἰσιόντος,
[[τοῦ ἥξοντος, τοῦ]] ἀφιξομένου, τοῦ προσιόντος, [[νέωτα]], εἰς νέωτα.
προπέρυσι, τρίτον ἔτος τουτὶ καὶ τέταρτον, [καὶ] ὁμοίως [κατ' ἀριθ-]
[μὸν τὸν παρελθόντα χρόνον λογίζου]. καὶ καρπὸς μὲν ἐπέτειος, 5
βρέφος δὲ ἐνιαύσιον. ἑορτὴ δὲ ἐτήσιος ἡ κατ' ἔτος ἀγομένη, διετήσιος
δὲ ἡ διὰ παντὸς τοῦ ἔτους, ἣν Ὅμηρος (η 118) ἂν εἴποι ἐπετήσιον.
58 ἐπὶ διετὲς δὲ ἡβάσκων ὁ ἐξ ἐφήβων δύο ἔτη. ὅταν δὲ εἴπῃ ὁ Ἡσίοδος
(Op 698) 'ἡ δὲ γυνὴ τέτορ' ἠβώοι', τετταρακαίδεκα ἔτη λέγει, προσ-
αριθμουμένων τῶν δέκα. λέγεται δὲ καὶ αὐτοετῆ τὰ ἐνιαύσια. καὶ 10
διενιαυτίσαι τὸ δι' ὅλου τοῦ ἐνιαυτοῦ τι πρᾶξαι, ἀπενιαυτίσαι δὲ τὸ
φυγεῖν εἰς ἔτος ἢ παύσασθαί τινος [ἐπ'] ἐνιαυτόν. χρόνος δὲ πολυετὴς
[ἢ] ἄνθρωπος [ἢ] οἶνος, καὶ ὁμοίως ὀλιγοετής.
59 [ἐκ δὲ μηνῶν] σιτηρέσιον ἔμμηνον καὶ μηνιαῖον καὶ τριακονθή-
μερον [καὶ ἑξάμηνον]. 15

τὰ δὲ μέρη τοῦ ἔτους [ἱσταμένου τοῦ ἔτους], [καὶ πάλιν πρωῖ]
[τοῦ ἔτους, καὶ νέου ἔτους], καὶ μεσοῦντος τοῦ ἔτους [καὶ ἀκμάζοντος]
60 [καὶ παυομένου] καὶ λήγοντος. καὶ αἱ ὧραι, χειμὼν καὶ χειμερινὴ
ὥρα [[καὶ χειμέριος]] [ὥρα, καὶ] ἔαρ καὶ ἠρινὴ ὥρα], καὶ θέρος καὶ
θερινὴ ὥρα, [καὶ ὥρα ἔτους, καὶ] μετόπωρον [καὶ μετοπωρινὴ ὥρα], 20
[[καὶ φθινόπωρον]] καὶ φθινοπωρινὴ ὥρα. καὶ ἰδίως τὸν καιρὸν τοῦ-
τον ὀπώραν ὀνομάζουσιν (Hom X 27)· '[ὅς ῥά τ' ὀπώρης εἶσι]'

V om praeter ea quae A etiam l 3 νέωτα

M om l 2 ταῖς | ὥραις | τοῦ εἰσιόντος ‖ 3 νέωτα—5 λογίζου ‖ 6 διετήσιος—15 ἑξάμηνον ‖ 17 καὶ μεσοῦντος ‖ 19 καὶ χειμέριος ὥρα ‖ 20 καὶ μετόπωρον ‖ 21 καὶ φθινόπωρον, et καὶ ἰδίως—p 19. 3 ὄντος

2 μέλλοντος] μένωντος M qui post προσιόντος habet τοῦ ἐνεστῶτος τοῦ δὲ μέλλωντος | ἐπιόντος B ‖ 5 λογίζονται VΠ ἐπέτειος] ἐπετήσιος M ‖ 8 διετὲς μέντοι ἡβ. λέγεται ὁ ἐξ ἐφ. ἔχων C | ὅταν—ὁ ante Ἡσίοδ. om F ‖ 9 ἡ] εἰ C | τέτταρ' AVB ἡβώη AVSB τεσσερισκεδεκέτιν λέγει C τετταρακαιδεκάτη λ. A ‖ 12 ἐπ'] μετ' Π ‖ 15 ἕξμηνον B ‖ 16 περὶ τῶν μερῶν τ. ἔ. lemma in Π | ἱσταμένου τ. ἔτ.] ΠVM add quae deinceps repetunt ἡ (om VM) μεσοῦντος ἢ λήγοντος | πρωῖ τοῦ M πρώτου AVΠB ‖ 19 ἐαρινὴ MB ‖ 22 ὅς ῥά τ' ὀπ. εἶσι] ὅσον θ' ὁπώρηςιν Π

Harp ἀντὶ τοῦ τούτῳ ἔτει Λυσίας ἐν τῇ πρὸς Πυθόδημον ἀπολογίᾳ, εἰ γνήσιος, Ἀριστοφάνης Γήρᾳ καὶ οἱ ἄλλοι ‖ 4 rectius πρωπέρυσι: Phrynich in BA 60. 32 Apollon Dysc in BA 577. 24

7 ἐπετήσιος] Schol Hom η 118 ἐπ. ἑκάστου ἔτους ἢ ἐφ' ὅλῳ τῷ ἔτει τοῦ ἐνιαυτοῦ ‖ 8 ἐπὶ διετὲς ἡβῆσαι] B.Aᵛ 255. 15 Harp . . . Δίδυμός φησιν ἀντὶ τοῦ ἐὰν ις' ἐτῶν γένωνται· τὸ γὰρ ἡβῆσαι μέχρι ιδ' ἐστιν. ἀλλ' οἱ ἔφηβοι παρ' Ἀθηναίοις ὀκτωκαιδεκαετεῖς γίγνονται . . . (Et M 359. 16, Suid). Aliter Suid ἡβήσαντες ‖ 9 = Schol Hesiod Op. 696 Tzetzae et Proculi ‖ 11 ἀπενιαυτίσαι] Pla-

φιλοτιμότερον δὲ θέρους ἀκμή, καὶ ἦρος ⟦ὑπολάμποντος, καὶ ἦρος⟧ ὑπανθοῦντος, καὶ ὡς Θουκυδίδης (IV 1,1) περὶ σίτου ἐκβολήν, καὶ (IV 6,1) 61
σίτου χλωροῦ ὄντος, καὶ (IV 2,1) περὶ σίτου ἀκμήν. καὶ ἀπὸ τῶν ἐπὶ τοῖς καρποῖς καιρῶν, οἷον τρυγητοῦ καιρῷ καὶ ἀμητοῦ καιρῷ ⟦⟦καὶ⟧ σπόρου ⟦καιρῷ⟧⟧, καὶ περὶ καρπῶν συλλογήν, καὶ ἀμπέλου ὀργώσης, καὶ ἐλαίας περκνῆς, καὶ τῆς γῆς ἀνθούσης. καὶ ἄλλως τὸ ἔαρ περὶ ζεφύρου πνοάς, καὶ τὸ θέρος περὶ τὰ ἐτήσια πνεύματα. καὶ ἀπὸ ἄστρων, περὶ Ἀρκτοῦρον ⟦ἱστάμενον⟧, καὶ ὑπὸ τὸν Σείριον ἀστέρα, καὶ 62
περὶ Πλειάδων ἐπιτολάς, καὶ ⟦περὶ Πλειάδων⟧ δυσμάς. καὶ τὸ θέρους που διαγαγεῖν θερίσαι ⟦καὶ⟧ ἐνθερίσαι, καὶ τὸ ἦρος ἐαρίσαι καὶ ἐνεαρίσαι, καὶ τὸ χειμῶνος χειμάσαι καὶ ἐγχειμάσαι· ⟦καὶ χωρία χειμάδια⟧. οὐκέτι μέντοι καὶ μετοπωρίσαι ἐστὶν ἐν χρήσει, ἐκ δὲ τοῦ ὁμοίου χρῆσθαι ἄν τις αὐτῷ δύναιτο.

μέρη δὲ μηνὸς ἱσταμένου ⟦καὶ⟧ μεσοῦντος καὶ λήγοντος, ὡς καὶ 63
τὰς τρεῖς δεκάδας οὕτω πως διαιρεῖν. καὶ ἡ μὲν πρώτη νουμηνία, ἀπὸ δὲ τῆς δευτέρας ἄχρι τῆς πρώτης δεκάδος τὸ ἱσταμένου προσθετέον· μετὰ δὲ τὴν δεκάτην Ἡσίοδος (Op 782) μὲν ‘πέμπτη δ’ ἡ μέση’, φησί, τὴν πεντεκαιδεκάτην λέγων, ἡμῖν δὲ ῥητέον πρώτη ἐπὶ δέκα καὶ δευτέρα ἐπὶ δέκα ⟦καὶ⟧ μέχρι τῆς εἰκάδος, τὸ δὲ ἀπὸ τούτου πρώτη

V om praeter ea quae A etiam l 18—19 καὶ δευτέρα ἐπὶ δέκα καὶ
M om l 1—3 ὄντος || 3—4 ἐπὶ τοῖς || 9 ἐπιτολάς—Πλειάδων || 10—11 καὶ ἐνεαρίσαι et καὶ ἐγχειμάσαι || 14 ὡς || 17—18 δ’ ἡ μέση—τὴν || 18—19 καὶ δευτέρα—δέκα καὶ

1 φιλότιμα C | ὑπολάμποντος] ὑπολήγοντος B || 1—2 ἦρος ὑπανθ.] προσυπανθοῦντος καὶ ὑπανθοῦντος Π || 3 ἔτι χλωροῦ Thuc Cdd πρὶν τὸν σῖτον ἐν ἀκμῇ εἶναι Thuc Cdd || 6 ἄλλως] εὖης B || 7 ζεφύρων AVBCM | ἀπὸ] ἐξ AV || 8 Σείριον] κριὸν M || 9 Πληιάδων V | δυσμάς—ἐπιτολάς AV θέρος AV || 10 που διαγαγεῖν] σπουδῇ ἀγαγεῖν AVΠM που διάγειν B | ἤρους C || 11 τὸν χειμῶνα Π || 12 ὁμοίου] καθ’ ὅλου M χρήσει. δύναιτο δ’ ἄν τις αὐτὰ κατὰ τὴν ὁμοιότητα χρῆσθαι C || 14 μέρη] περὶ M | λήγοντος, τῶν δὲ τριῶν δεκάδων αὐτοῦ. ἡ μὲν πρ. C || 16 ἄχρι] ἀρχὴ AV | πρώτης] Γ′ M | τοῦ ἱστ. AV | προσθ.] λεκτέον M || 17 πέμπτη] ἕκτη δ’ ἡ μέσση Hesiodi cdd, πέμπτην τὴν μέσην B | 18 πέμπτην (τε add B) καὶ δεκάτην Π B || 19 εἰκοσάδος B

---

ton Leg IX 866 C(?), Tim (B.A^{VI} 421. 18, Suid), Hes (Schol Plat Legg l l) B.A^{VI} 421. 20, Et M 120. 17, B.A^{V} 206. 24

4 ἀμητοῦ καιρῷ] Schol Hom τ 233, Ammon p 15 Valck || 14 B.A^{V} 280. 30 sqq = Phot Μουνυχιών· μετροῦσιν Ἀθηναῖοι τοὺς μῆνας τοῦτον τὸν τρόπον· νουμηνία· εἶτα δευτέρα ἱσταμένου, καὶ τρίτη καὶ τετάρτη καὶ οὕτως μέχρι τῆς ἑνάτης. εἶτα δεκάτη, ἑνδεκάτη, δωδεκάτη καὶ λοιπὸν τετάρτη ἐπὶ δέκα (καὶ τρίτη ἐπὶ δέκα BA) ἕως εἰκάδος· ἔπειτα εἰκάς (εἶτα μία καὶ εἰκάς add B.A) . . . καὶ λοιπὸν καθ’ ὑφαίρεσιν ἑνάτη φθίνοντος . . . ἕως δευτέρας φθίνοντος, ἥτις ἐστὶ παρ’ ἡμῖν εἰκὰς ἑνάτη. τὴν δὲ τριακάδα ἔνην καὶ νέαν ἑκάλουν . . . || 34 = Schol Proculi Hesiod Op 780 τὴν ἑκκαιδεκάτην μέσην ἕκτην εἶπὼν . . .

ἐπὶ εἰκάδι — ἡ δ' αὐτὴ καὶ δεκάτη φθίνοντος — ⟦καὶ δευτέρα ἐπὶ⟧ ⟦εἰκάδι — ἡ δ' αὐτὴ καὶ ἑνάτη φθίνοντος⟧ — ⟦καὶ⟧ ὁμοίως ἄχρι τῆς τριακάδος, ἣν οἱ Ἀττικοὶ καλοῦσιν ἕνην καὶ νέαν, ⟦Ὁμήρου⟧ (Ξ 162 = τ 307) ⟦προειπόντος τοῦ μὲν φθίνοντος μηνὸς τοῦ δ' ἱσταμένοιο'⟧. ⟦διελόντι δὲ εἰς τρία τὸν μῆνα τὸ τρίτον ἂν αὐτοῦ καλοῖτο δεχή-⟧ ⟦μερον⟧.

64 καὶ τὸ μὲν ἐφ' ἑκάστῃ ἡμέρᾳ γινόμενον ἡμερήσιον, τὸ δὲ δι' ὅλης ⟦[τῆς]⟧ ἡμέρας πραττόμενον πανήμερον ἢ πανημέριον, ὡς καὶ τὸ δι' ὅλης ⟦τῆς⟧ νυκτὸς πάννυχον ἢ παννύχιον. τὸ δὲ διὰ μιᾶς ἡμέρας πραχθὲν αὐθημερόν, καὶ τὸ τὴν αὐτὴν ὁδὸν διὰ μιᾶς ἡμέρας ἐπανελθεῖν αὐθημερίσαι. καὶ τὸ δι' ὅλης ἡμέρας τι πρᾶξαι ἡμερεῦσαι καὶ διημερεῦσαι, οἷον ἐπὶ τῶν βαναύσων ὁ Πλάτων (?) εἴρηκε πρὸς
65 πῦρ ἡμερεύοντας. λέγοιτο δ' ἂν καὶ παρημερεῦσαί τινι ἔργῳ ἢ ἀνθρώπῳ. καὶ ὁ δι' ⟦ὅλης⟧ ἡμέρας θεῶν ἡμεροδρόμος. τὸ δ' εἰς τὴν ἐπιοῦσαν μὴ μένον ἐφήμερον, τὸ δὲ παρὰ μίαν ἑτερήμερον. φαίης δ' ἂν τῇ παρελθούσῃ ⟦ἡμέρᾳ⟧, καὶ τῇ ἀπιούσῃ, καὶ τῇ ἐξηκούσῃ, καὶ τῇ προτεραίᾳ, καὶ τῇ προτέρᾳ, καὶ τῇ χθές· ἐπὶ δὲ τοῦ ἐν αὐτῇ

V om eadem quae A

M om l 1 καὶ δευτέρα—2 φθίνοντος καὶ ‖ 3 καὶ νέαν ‖ 5 τὸ τρίτον—6 ‖ 8 τῆς ‖ 10 διὰ ‖ 16 ἡμ. καὶ τῇ ἀπιούσῃ ‖ 16—17 καὶ τῇ προτεραίᾳ

1 δεκάτη] ἐννάτη B ‖ 1—2 φθιν. ἐννέα γὰρ λοιπὰ ἀπὸ τῆς κα΄ καὶ ὁμοίως B ‖ 2 ὁμοίως] ἡ θ' οὕτως M ‖ 3 τριακοντάδας A ‖ 4 προσειπόντος Π προειπόντος V εἰπόντος B ‖ 5—6 διχόμερον B ‖ 8 τῆς] που AVM ‖ 10 πραττόμενον ἢ πραχθὲν Π ‖ 11 ἀντεπανελθεῖν ἀπαυθημερίσαι Π C ἀντεπελθεῖν B | τι] ὅτι οὖν M ‖ 12—13 apud Platon philos non legitur ἡμερεῦσαι, sed διημερεύομεν Phaedo 59 D. At Xenoph Oeconom IV 2 ἔνιαι δὲ (sc τέχναι βαναυσικαὶ) καὶ πρὸς πῦρ ἡμερεύειν (ἀναγκάζουσαι). Fortasse scribendum οἷον ὁ Πλάτων (Phaedo 59 D). καὶ ἐπὶ τῶν βαναύσων ὁ Ξενοφῶν (Oeconom IV 2) εἴρηκε . . . Cf Poll I 42 | inde a πρὸς πῦρ ἡμ.—p 23. 16 οὐδὸς lacuna in C duobus foliis rescissis ‖ 15 post μίαν B add παρήμερον ‖ 16 δ' ἂν ἐπὶ μὲν AVΠM | ἐπιούσῃ B ‖ 17 προτέρῃ AM

---

3 ἕνην καὶ νέαν] B. A^{V} 250. 18 (B. A^{IV} 183. 2), Schol Plat Leg 849 B, Lex Patm p 140, B. A^{V} 281. 12, Et M 340. 55 (e Phot sed aliis veriloquiis additis), Lex Cantabr 340. 5 N . . . παρ' Ἀθηναίοις ἡ τριακάς. φασὶ δὲ οὕτω (οὐ C) Κόλωνα αὐτὴν ὀνομάσαι, παρόσον αὐτῆς τὸ μὲν ἥμισυ τοῦ παρεληλυθότος μηνός ἐστι, τὸ δὲ ἥμισυ τοῦ εἰσελθόντος. Harp (Suid^{V}), Schol Aristoph Nub 1134 (Suid^{II}) et Ach 172 (Suid^{III}), Tim (Suid^{I}), Hes φθίνοντος μηνός ‖ 10 αὐθήμερον] Bachm L in B. A 463. 6 αὐθημερόν· αὐτῇ τῇ ἡμέρᾳ. Θουκυδίδης πρώτῳ (II 12. 2), Suid, Cyrill Vall E 11 αὐθήμερος· αὐτῇ τῇ ἡμέρᾳ, Hes ‖ 14 ἡμεροδρόμος] Plat Prot 335 E. Aliter Cyrill Vall E 11 ἀλληγορικῶς ὁ ἥλιος. φασὶ δὲ καὶ τοὺς ταῖς βασιλικαῖς χρείαις τάχιστα διακονουμένους Hes, Bachm L 250. 27 (Phot,

πραχθέντος χθιζόν, ἕωλον. ἐπὶ δὲ τῆς παρούσης ἡμέρας τήμερον καὶ 66
σήμερον, καὶ ἡ ἐνεστῶσα καὶ ἡ ἐνεστηκυῖα. ἡ δ' ἐπιοῦσα ἡμέρα καλεῖται αὔριον καὶ ὑστεραία [καὶ ὑστέρα] καὶ προσιοῦσα. τὴν δὲ μετ' αὐτὴν εἰκάσαις ἂν ὡς ἔνηφι Ἡσίοδος (Op 410) καλεῖ, εἰ μὴ τὴν τριακάδα [οὕτω λέγει]. ἰδίως δὲ παρ' Ἀθηναίοις καλοῦνται τριακάδες ἐπὶ τῶν τετελευτηκότων. φιλοτιμότερον δὲ [[τὸ]] προστιθέναι τὴν εἷς πρόθεσιν ταῖς ἐπιούσαις ἡμέραις, οἷον εἰς αὔριον, καὶ εἰς τὴν ἐπιοῦσαν, καὶ εἰς ἡμέραν τρίτην, [καὶ] εἰς ἡμέραν τετάρτην. [λέγεται 67
δὲ] καὶ εἰς ἡμέραν ῥητήν, εἰς ἣν ἂν ὁρισώμεθα, εἰς ἡμέραν ὡρισμένην, εἰς ἡμέραν διωμολογημένην. καὶ ἡμέρα κυρία ἡ ἐπί τινι τεταγμένη· κἂν χωρὶς τοῦ ἡμέρας εἴπωσιν οἱ ῥήτορες 'παρούσης δὲ τῆς κυρίας' καὶ 'ἐνεστώσης τῆς κυρίας', προσυπακούεται τὸ ἡμέρας. ἐπὶ δὲ τῶν παρελθουσῶν ἡμερῶν ἡμέρα τρίτη, καὶ τρίτην ταύτην ἡμέραν, καὶ τὰς ἄλλας ὁμοίως.

μέρη δὲ ἡμέρας περίορθρον, ὄρθρος, ὑπολαμπούσης ἡμέρας, 68
ὑποφαινούσης, ὑπὸ πρώτην ἕω, ἡλίου ἀνίσχοντος, περὶ ἡλίου ἐπιτολάς, [πρωί, καὶ] πρωὶ τῆς ἡμέρας. μεσούσης ἡμέρας, περὶ μεσημβρίαν, ἡλίου ὑπὲρ κεφαλῆς ἱσταμένου, κλίναντος εἰς τὰ μεσημβρινὰ τοῦ θεοῦ, [δείλης], δείλης ὀψίας, καὶ μεσημβρινοῦ καιροῦ, καὶ δειλινοῦ [καιροῦ], ἡλίου εἰς τὸ κάτω ῥέποντος, ὀψὲ τῆς ἡμέρας. τὸ γὰρ 69
πρωΐτατα καὶ ὀψίτατα οὐκ ἐπὶ ἡμέρας μέρους ἀλλ' ἐπὶ χρόνου

C hiat duobus foliis rescissis

V om praeter ea quae A etiam l 13 τρίτη καὶ

M om l 3 καὶ ὑστέρα et τὴν—6 τετελευτηκότων ‖ 12 καὶ ἐνεστώσης τ. κυρίας ‖ 17 πρωί καὶ ‖ 19 δείλης

4 ἔννηφι Hes cdd ‖ 6 φιλότιμον AVM ‖ 7 ἐπιούσαις] παρελθούσαις M ‖ 9 ὁρισώμεθα καὶ Π ‖ 11 κἂν] καὶ AV ‖ 12 ἐνεστώσης πρὸ τῆς AV ἐνεστηκυίας F | προσυπακουστέον ἡ. Π ‖ 13 ὡς τρίτην A ‖ 16 ἐπιφαινούσης AM ‖ 17 μεσούσης τῆς AVM ‖ 19 θεοῦ] ἡλίου M ‖ 21 et p 22. 2—3 πρωιαίτατον B | ὀψιαίτατον B

---

inde Et M 429. 41, Suid, Schol Plat Protag 11), Et Gud 244. 53. Cf Harp δρομοκήρυκες

1 ἕωλον] Cyrill Vall E 11 δασέως, ψυχρὸν καὶ ἐχθεινόν, Hes, Bachm L 246. 3 (Phot Suid), Et M 352. 17. Aliter Orion 59. 2 (e Philoxeno), Et M 352. 18 sqq, Et Gud 227. 31 ‖ 4 Athen III 100 B αὔριον δὲ ἢ ἔνηφι· τὴν γὰρ εἰς τρίτην Ἡσίοδος εἴρηκεν οὕτως, Hes, Schol Hesiod ‖ 5 τριακάδες] Harp (Suid, Phot, inde Et gen, Symeon apud Gaisford Et M 765. 32 adnot) Ὑπερείδης ἐν τῷ περὶ τοῦ Ἱππέως κλήρου, B. A^{V} 308. 5 ‖ 21 sqq Paus L ap Eustath 1025. 28 (Schwabe 203. 1), Phot πρωΐ ^{I}, πρωΐ ^{III}, Phrynich BA 61. 18, Bachm L πρωιαίτερον (Phot Suid), Tim πρωΐ (Phot ^{II} Suid), Et M 692. 43 ‖ πρωΐτατα ὀψίτατα: Thom Mag p 309 sq

λέγεται, οἷον ταχέως καὶ βραδέως, ὡς ἐπὶ τῶν τι πραττόντων πρὸ καιροῦ ἢ μετὰ καιρόν, [πρωὶ τῆς ἡλικίας] [καὶ πρωίτερον] καὶ πρωίτατα, καὶ ὀψὲ τῆς ἡλικίας, ὀψίτερον, ὀψίτατα. περὶ ἡλίου δυσμάς, ἑσπέρας, ὅτε ἤδη συνεσκόταζε. καὶ σκοταῖοι ἀφίκοντο.

70 τὰ δὲ τῆς νυκτὸς μέρη νυκτὸς ἀρχή, [καὶ περὶ πρώτην νύκτα], [καὶ νυκτὸς ἀρχομένης, καὶ περὶ πρώτας φυλακὰς καὶ δευτέρας καὶ] [τρίτας], ἢ καθ' Ὅμηρον(?) περὶ πρώτην μοῖραν. ἢ περὶ πρῶτον ὕπνον, εἰ μὴ εὐτελές. μεσούσης νυκτός, μέσων νυκτῶν. ὑπὸ τὸ λυκαυγές, ὅπερ Ὅμηρος (Η 433) 'ἀμφιλύκην νύκτα' καλεῖ. περὶ ἀλεκ-
71 τρυόνων ᾠδάς, ἀλεκτρυόνων ᾀδόντων, ὑπὸ τὸν ᾠδὸν ὄρνιθα. καὶ τὸ μὲν νυκτός τι πρᾶξαι νυκτερεῦσαι [καί που καὶ νυκτεριναὶ φυλακαί]. [τὸ δὲ δι' ὅλης νυκτὸς διανυκτερεῦσαι], καὶ τὸ [μὲν] ἑσπέρας προσαγρυπνῆσαι καὶ ἐφεσπερεῦσαι καὶ ἐφεσπερεύσασθαι, [τὸ δὲ προαναστῆναι] [περὶ τὸν ὄρθρον ἐπορθρεύσασθαι]. ὥρα δὲ καὶ ἡμιώριον, ὡς Μένανδρος (III frg 1015 Ko), σημεῖον ὠνομάζετο παρὰ τοῖς παλαιοῖς. καὶ
72 ἀπὸ σκιᾶς δὲ ἐδηλοῦτο, οἷον δεκάπους ἡ σκιὰ καὶ ἑνδεκάπους.

ἔστι δὲ τῶν καιρῶν καὶ τὰ ἐπιρρήματα τοῦ χρόνου, τότε καὶ πότε καὶ ὁπότε, καὶ [[τηνίκα καὶ]] πηνίκα καὶ ὁπηνίκα [καὶ ἡνίκα] [καὶ τηνικαῦτα]. [[καὶ ποτέ]] καὶ πάλαι [καὶ] πρόπαλαι καὶ [τρίπαλαι]. πρὸ ὀλίγου, πρὸ πολλοῦ. μετ' ὀλίγον, ὀλίγῳ ὕστερον, βραχεῖ ὕστερον. ἄρτι, ὅ ἐστι πρὸ μικροῦ, [καὶ νῦν δή, [[ὅ ἐστι]]] [ταὐτόν]. καὶ ὅλως πολλὰ τῆς αὐτῆς ἰδέας ἐστίν.

73 Φέρε δὴ καὶ περὶ οἴκου φράσωμεν. οἶκος, οἰκία, οἴκησις, οἰκητήριον, ἐνοικητήριον, καταγωγή, καταγώγιον, ὑποδοχή, κατάλυσις, [[κατάλυμα]], καταλυτήριον, ξενών, αὐλή, ἐνδιαίτημα, τάχα δὲ καὶ

C hiat duobus foliis rescissis

V om praeter ea quae A etiam l 2—3 καὶ πρωίτατα

M om l 2—3 πρωίτατα ‖ 7 ἢ—Ὅμηρον ‖ 8 εἰ μὴ εὐτελὲς ‖ 10 ὑπὸ—ὄρνιθα ‖ 11 καί που—φυλακαί ‖ 13 καὶ ἐφεσπερεύσασθαι ‖ 18—19 τηνίκα καὶ et καὶ ἡνίκα ‖ 19 καὶ ποτέ καὶ ‖ 19—20 καὶ τρίπαλαι ‖ 21 ὅ ἐστι ‖ 24 ἐνοικητήριον

2 πρωΐ] πρὸ AV πρῲ M ‖ 3 ὀψιαίτερον BC ‖ ὀψίτατον AV v ad p 21. 21 ‖ 4 σκοτέοι B σκοτιαῖοι A Lobeck Phr 552 ‖ 7 τρίτης A ‖ 10 ᾠδικὸν A ‖ 11 φυλαί B ‖ 12 τὰ δὲ Π ‖ 12—13 προσα. ἐφεσπε(α S)ρίσαι Π ‖ 15 σημεῖον] τίμιον Π, στοιχεῖον e VI 44 Kaibel ‖ 17—18 χρ. οἷον καὶ πότε καὶ ὁπότε καὶ τινί καὶ τηνίκα M ὁπότε] ποτὲ AV ‖ 21 βραχύ ΠB ‖ 22 ὅλως] ἄλλα B

---

7 περὶ πρώτην μοῖραν non apud Homerum, sed K 253 τριτάτη δ' ἔτι μοῖρα λέλειπται ‖ 9—10 Cf Schol Hom H 433, Apollon Soph ‖ 16 B. A^{v} 242. 10 δωδεκάπους σκιά = Suid δεκάπους σκιά, Aristoph Eccl 648 cum Schol (Suid), cf VI 44 ‖ 24 sqq Moeris 202. 5 καταγώγιον καὶ κατάγεσθαι Ἀττικοί, κατάλυμα (cf Hes) καὶ καταλύειν Ἕλληνες

καλύβη καὶ σκηνή. οἰκῆσαι, ἐνοικῆσαι, κατάγεσθαι, ἐγκατάγεσθαι, ἐνδιαιτηθῆναι, καταλῦσαι, [ἐναυλίσαι], ἐναυλίσασθαι, καταυλίσασθαι, σκηνῶσαι, [κατασκηνῶσαι]. τὰ μέντοι ἐνδιαιτήματα, [καὶ αἱ καλύβαι], ὥσπερ καὶ 74
τὰ ἐνηβητήρια, οὐκ ἐπὶ τῶν ἀναγκαίων οἰκήσεων ἀλλ' ἐπὶ τῶν τερπνῶν
5 τάττεται. καλεῖται δὲ ὁ ὑποδεχόμενος [καὶ ὁ ὑποδεχθεὶς ξένος, ἰδίως] [δὲ ὁ ὑποδεχόμενος] ξενοδόχος. ἄλλως [δὲ ὁ] δεσπότης [τῆς] οἰκίας στεγανόμος· παρὰ δὲ τοῖς Δωριεῦσι [καὶ Αἰολεῦσιν] ἑστιοπάμων ὀνομάζεται. ἔνιοι δ' αὐτὸν καὶ ναύκληρον ἐκάλεσαν, καὶ τὸν ὑπὲρ τῆς καταγωγῆς μισθὸν ναῦλον, ὅπερ ἐνοίκιον οὐ παρὰ τοῖς πολλοῖς μό- 75
10 νον ἀλλὰ καὶ παρὰ τοῖς παλαιοῖς καλεῖται, παρὰ δὲ ἐνίοις καὶ στεγανόμιον. εἴποις δ' ἂν μισθώσασθαι καὶ μισθῶσαι [[οἶκον]], [ὅπερ Ἡρό-] [δοτος (I 68) ἐκδιδόναι καλεῖ· ἐμισθοῦτο παρ' οὐκ ἐκδιδόντος τὴν] [αὐλήν']].

μέρη δ' οἰκίας· [αὔλειος θύρα, κηπαία θύρα, ἀμφίθυρος, ἣν] 76
15 [Ὅμηρος (χ 126, 132, 333) ὀρσοθύρην καλεῖ], οἱ δὲ πολλοὶ πλαγίαν [θύραν]. οὐδὸς [ὀδὸς] καὶ [τῶν περὶ τὰς θύρας μερῶν] θαιρὸς [μὲν] ὁ στροφεὺς ὀνομαζόμενος, σταθμοὶ δὲ τὰ ἑκατέρωθεν [ξύλα] κατὰ πλευρὰν τῶν θυρῶν, [[ἃ καὶ παραστάδας φασίν]]. αὐτὰς δὲ

V om praeter ea quae A etiam l 2 καταυλίσασθαι

M om l 1 ἐγκατάγεσθαι ‖ 2 ἐναυλίσαι et καταυλίσασθαι ‖ 3 τὰ μέντοι—5 τάττεται ‖ 6 ἄλλως δὲ ὁ ‖ 7 παρὰ—8 ὀνομάζεται ‖ 8 αὐτὸν ‖ 12 ἐμισθοῦτο—13 ‖ 16 θαιρὸς ‖ 18 ἃ καὶ—φασίν

1 κατάγεσθαι] καταγαγέσθαι Π ‖ 2 καταλύσασθαι B | σκηνῶσαι σκηνῆσαι Π ‖ 4 οἰκήσεων] καταλύσεων Π ‖ 7 δωριαιολεῦσιν AV ἑστιοπάμμων AV ἑστιοπάγων B ‖ 9 ὅπερ] ὥσπερ Π ‖ πολλοῖς καλεῖται Π ‖ 12 παρ' οὗ καὶ ἐκδιδοῦντο (ἐκδιδοῦτο V) AV ‖ 14 κηπιαία Π ‖ 15 ὡς οἱ πολλοὶ B ‖ 16 οὐδὸς καὶ ὁδός hinc pergit C | ὀδὸς] ἕδος Π ὅδιος add Π τὰ—μέρη AV

---

4 ἐνηβητήρια] Herod Π 133 ‖ 6 sqq = X 20 ‖ 8 ναύκληρος] Harp Ὑπερείδης ἐν τῷ περὶ τοῦ ταρίχους . . . ὡς ὁ αὐτὸς ῥήτωρ δηλοῖ ἐν τῷ πρὸς Ἀριστογείτονα καὶ Σαννυρίων Γέλωτι καὶ Δίφιλος Ἐμπόρῳ (Phot Suid), B.A^{V} 282. 10 = Phot ναύκληρος, Hes Lex Cantabr 351. 4, B.A^{II} 109. 19 . . . Ἄλεξις Λοκροῖς = Phot ναυκληρεῖν ‖ 10—11 στεγανόμιον] Aristoph Byz frg 45 δ δηλοῖ παρ' ἡμῖν μὲν τὸν τόπον ἐν ᾧ ἑστιῶνται, παρ' Ἀττικοῖς δὲ τὸν μισθὸν τοῦ πανδοχείου (Eustath, cf Miller mél 427 et frg Paris), Hes, BA 302. 28 = Phot ‖ 14 αὔλειος θύρα] Harp Μένανδρος (Suid Bachm L in BA 463. 16), Hes Herod Π c 5 ‖ 15 ὀρσοθύρα] Hes Et M 634. 1—11, Schol χ 126, Schol Eurip Med 135, aliter Apollon Soph (Ἀπίων) ‖ 16 cf IX 35, Hes θαιρὸς ὁ διήκων ἀπὸ τοῦ ἄνω μέρους ἕως κάτω στροφεὺς τῆς θύρας ἢ ἄξων Σοφοκλῆς Τριπτολέμῳ, Bachm L (Phot Suid) ‖ 17 Hes σταθμοί ‖ 18 παραστάδες] cf X 25 ἐν Κρατίνου Διονυσαλεξάνδρῳ (Π frg 42 Ko), Euripid Andr 1121, Phoen 426, Iph T 1159, Bachm L (Phot Suid) σταθμῶν· τῶν παραστάδων τῆς θύρας

τὰς θύρας κανίδας Ὅμηρος (Μ 121 χ 128 etc) καλεῖ. τὸ δ' ὑπὲρ αὐτὰς ὑπερθύριον [[ἢ ὑπέρθυρον]], τὸ δὲ προῦχον τοῦ ὑπερθυρίου
77 γεῖσον καὶ γεισώματα. τὰ δὲ πρὸς ἀσφάλειαν κλεῖθρα, μοχλοί, κλεῖδες [καὶ κλῆδες, [[ἐπιβλῆτες]], βαλανάγραι, ὀχεῖς. τὸν δὲ ὀνομαζόμενον κόρακα κορώνην Ὅμηρος (α 441 etc) καλεῖ. εἰσιόντων δὲ πρόθυρα καὶ προπύλαια. καὶ τὸν μὲν πυλῶνα [ὀνομαζόμενον] καὶ θυρῶνα καλοῦσι, τὸ δὲ τοῦ πυλωροῦντος οἴκημα πυλώριον. εἶτα πρόδομος καὶ προαύλιον· εἶτα αὐλὴ τὸ ἔνδον, ἣν αἴθουσαν Ὅμηρος (Ζ 243, δ 297 etc) καλεῖ. εἴποις δ' ἂν τὸν περίστυλον τόπον [καὶ] περικίονα
78 — καὶ γὰρ στῦλος καὶ κίων ὀνομάζεται — [κατὰ δὲ τοὺς Ἀττικοὺς περίστῳον]. στοὰν δὲ [κάλει] τὸ μέρος αὐτοῦ· στοὰ γὰρ] τὸ ταμιεῖον καλεῖται. [ἡ μέντοι χρῆσις καὶ ἐπὶ τὰ ἐναντία τέτραπται].
79 τῶν δὲ οἰκιῶν πρόδομος καὶ δῶμα καὶ δωμάτιον καὶ κοιτών· [εἰ γὰρ] [καὶ Μένανδρος (III frg 1022 Ko) αὐτὸ βαρβαρικὸν οἴεται, ἀλλ'] [Ἀριστοφάνης ὁ κωμῳδοδιδάσκαλος (I frg 6 Ko) τὰ τοιαῦτα πιστό-] [τερος αὐτοῦ, εἰπὼν ἐν Αἰολοσίκωνι]

ΣΧΟΛΙΟΝ ad l 13: καὶ ξενών, ὃ παρὰ τοῖς νεωτέροις νοσοκομεῖον λέγεται A in textu post δωμάτιον.

V om eadem quae A

M om l 2 ἢ ὑπέρθυρον ‖ 4 καὶ κλῆδες — ὀχεῖς ‖ 8 ἣν — 9 καλεῖ ‖ 10 γὰρ ‖ 13—14 εἰ γὰρ καὶ Μέν. — p 25. 3 cuccίτιον

2 ὑπέρθυρον — ὑπερθύρου BC ἢ ὑπερθυρίου add C | προῦχον καὶ Π ‖ 3 γεισώματον M γείσωμα BC | πρὸς] εἰς AVBCM ‖ 4 ἐπιβλῆτες Ed pr sol ‖ 7 πυλούριον M πυλουρεῖον BC ‖ 8 ἢ καὶ Π ‖ 11 καλοῦσι Π ‖ 11—12 ταμιεῖον] πλευρὸν BC ‖ 12 τέτριπται BC ‖ 13 οἴκων ΠBC πρόδρομος MS ‖ 15 κωμοδιδάσκαλος αὐτοῦ τὰ AV ‖ 16 — p 25. 1 πιστοτέρως εἶπεν εἶναι· ὁλοσίκωνοι κοιτῶνες AV sed in V inter εἶναι et κοιτῶνες lacuna

---

2 ὑπερθύριον Hom η 90 ὑπέρθυρον Herod I 179 ‖ 4 ἐπιβλῆτες] Harp Λυσίας ἐν τῷ κατὰ Νικίου φόνου, εἰ γνήσιος· ἐπιβλής ἐστιν, ὡς μὲν Τιμαχίδας φησί, δοκός, ὡς δέ φησι Κλείταρχος ὁ γλωσσογράφος, ποιά τις δοκός. Et M 358. 2, 592. 19 Φιλόξενος δέ φησιν, ὅτι οὐ κατὰ τὴν νῦν χρῆσιν εἴρηται ὁ μοχλὸς παρ' Ὁμήρῳ, ἀλλ' ἐπιβλὴς καὶ ὀχεὺς εἴρηται παρ' αὐτῷ . . . (per Et gen ex Phot Et M 358. 8 Suid) | 4 ὀχεῖς] Hes ‖ 5 κορώνη] plura VII 111, Hes ‖ 11 περίστῳον] Bachm L περίστῳον· περίστυλον στοὰς ἔχον (Phot Suid) Hes, Et M 665. 3, Moeris 206. 10 περίστῳον Ἀττικοί, περίστυλον Ἕλληνες | Phot στοαί. τὰ ταμιεῖα. παραμήκη γὰρ ἦν τοῖς παλαιοῖς cf Schol Aristoph Eccl 14 ‖ 13 ξενών cf III 59 | Phryn Ecl 252 τὸ μὲν κοιτὼν ἀδόκιμον . . . ἡμῖν δὲ καλὸν χρῆσθαι τῷ ἀττικῷ ὀνόματι· προδωμάτιον γὰρ λέγουσιν, ἐπεὶ καὶ δωμάτιον τὸν κοιτῶνα. Lobeckius adnotat 'Pollux I 79, sed suspectus est mihi locus, neque credo Menandrum pro barbara habuisse vocem κοιτών'.

[BC]κοιτῶν ἁπάσαις εἷς, πύελος μί' ἀρκέσει.[BC]
ἀνδρών, ἵνα συνίασιν οἱ ἄνδρες· ἐξέδρα, ἵνα συγκάθηνται. συμπόσιον,
[BC]ἐκ τοῦ ἔργου ὠνομασμένον· τὸ δ' αὐτὸ[BC] καὶ συσσίτιον. οἶκος τρί-
κλινος πεντάκλινος [BC]ἢ δεκάκλινος[BC], καὶ [FS][[ἁπλῶς]][FS] πρὸς τὸ τοῦ μεγέ-
θους μέτρον ὁ τῶν κλινῶν ἀριθμός. θάλαμος, γυναικωνῖτις, ἱστεών, 80
ταλασιουργικὸς οἶκος, σιτοποιικός, ἵνα μὴ μυλῶνα ὡς οὐκ εὔφημον
[BC]ὀνομάζωμεν[BC]. ὀπτανεῖον τὸ [BC]καλούμενον[BC] μαγειρεῖον, ἀποθῆκαι, τα-
μιεῖα, θησαυροί, φυλακτήρια. Ξενοφῶν δὲ [FS]καὶ στεγνὰ[FS] καὶ στέγην
ὠνόμασεν, [BC]οὕτω πως ὑπειπών (Oecon VIII 13?) 'ὅσα [FS]δ'[FS] οὐδ' ἐν[BC]
[BC]δεκακλίνῳ †μεγαλοστέγῃ', καὶ πάλιν (Oecon IX 3) 'στεγνὰ ψυχεινὰ' καὶ[BC]
[BC]ἀλεεινά'[BC]. καλοῖτο δ' ἂν τὸ μὲν ὑπὸ τοὺς πόδας ἔδαφος, τὸ δ' ὑπὲρ
τὴν κεφαλὴν [ὄροφος καὶ] ὀροφὴ καὶ στέγη. [BC]καὶ ὑπόστεγόν τι[BC]
[FS][BC]καὶ ἄστεγον[BC][FS] καὶ κατάστεγον, καὶ ὑπωρόφιον καὶ ὁμωρόφιον. τὸ 81
δὲ μεταξὺ τοῦ ὀρόφου καὶ τοῦ στέγους παρωροφίς. τὸ δ' ὑπεράνω
τοῦ ὀρόφου στέγος, [BC]ὃ ποιητικῶς τέγος λέγεται[BC]. τὰ δ' ὑπὲρ αὐτὸ
προύχοντα, ὡς τὸν ὄμβρον ἀπερύκειν, προτεγίσματα. εἶτα ὑπερῷα
οἰκήματα, [τὰ δ' αὐτὰ καὶ διήρη]. αἱ δὲ προβολαὶ τῶν ὑπερῴων

V om praeter ea quae A etiam l 13 καὶ ἄστεγον ‖ 15 ὃ ποιητ.—λέγεται, sed praebet l 12 ὄροφος καὶ

M om l 1—3 συσσίτιον ‖ 4 ἁπλῶς—5 ἀριθμός ‖ 5 ἱστεών ‖ 6 σιτοποικός—7 ὀνομάζωμεν ‖ 10 καὶ πάλιν—11 ἀλεεινά ‖ 11 τὸ δ'—12 ὄροφος καὶ ‖ 13 καὶ ὁμωρόφιον—14 παρωροφίς ‖ 15 ὃ ποιητικῶς—λέγεται ‖ 16 εἶτα—p 26. 4

1 μίαν A μία VΠ ‖ 2 ἐξέδρα] καθέδρα A ‖ 3 ἐκ] ἀπὸ Π ‖ 4 ἢ] καὶ Π καὶ] ἢ AΠ ‖ 5 ὁ δὲ γυναικωνῖτις θάλαμος BC | ἱστῶν AVΠ ‖ 6 σιτοπ. οἶκος, ὁ δὲ μύλων οὐκ εὔφ. BC ‖ 7 ἐρεῖς δὲ ante ἀποθῆκαι add C ἔρεισος B ‖ 7 μαγειρεῖον] ταμιεῖον AV ταμεῖα ΠBC ‖ 8 στέγην] στέγη SBC ‖ 9—10 In Xenoph Oeconom VIII 13 legitur καὶ ὅσα λέγω ἐγώ, πάντα οὐκ ἐν πολλῷ τινι μείζονι χώρᾳ ἔκειτο ἢ ἐν δεκακλίνῳ στέγῃ συμμέτρῳ, unde Althaus pro μεγαλοστέγῃ coniec μετρίῳ στέγῃ | μεγάλῳ στέγει Π ‖ 12 ὄροφος] ὄρος V ‖ 13 κατασστέγοντι Π | ὑπωρόφιον] ὑπορόφιός τις Π ὑπωρόφιος C ὑπερωρόφιον B | ὁμορόφιον Π ‖ 14 πραω(ο F)ροφίς Π ‖ 15 ὃ—λέγεται om F | αὐτὸ] αὐτὰ Π ‖ 16 προτεγιάματα A

---

2 sqq Cf VI 7 ‖ 7 Et M 629. 7 ὀπτανεῖον διὰ διφθόγγου . . . ὁ δὲ Ἡρωδιανὸς λέγει, ὅτι παρὰ τοῖς Ἀττικοῖς διὰ τοῦ ῑ γράφεται καὶ προπαροξύνεται. Recte Herodianus cf Lobeck Phryn 276 | Phrynich Ecl 276 μαγειρεῖον· τὸ μὲν μάγειρος δόκιμον, τὸ δὲ μαγειρεῖον οὐκέτι, ἀντὶ δὲ τούτου ὀπτάνιον λέγουσιν ‖ 14 παρωροφίς Herod II 155 ‖ 15 Hes τέγος, στέγη, δῶμα, ὑπερῷον ‖ 17 διήρη] cf IV 129 Hes, Et M 274. 25, Zonar 569, Schol Eurip Phoen 90, Moeris 195. 6 διῆρες Ἀττικοί, ὑπερῷον Ἕλληνες, cf Platon Comic I frg 112 Ko

οἰκημάτων, [[[αἱ]]] ὑπὲρ τοὺς κάτω τοίχους προύχουσαι, γεισηποδίσματα, καὶ τὰ φέροντα αὐτὰς ξύλα γεισήποδες. ἀμείβοντες δ' εἰσὶ ξύλα ἑκατέρωθεν τῶν τοίχων ἀλλήλοις ἀντερειδόμενα πρὸς τὸ τοὺς [ἐκ] μέσου ὑψηλοὺς ὀρόφους ἀνέχειν δύνασθαι.

82 Πλοῖον, ναῦς, ὁλκάς, σκάφος, μυριοφόρος ναῦς· τὸ δὲ μυριαγωγὸς εὐτελές. ἑκατόντορος, πεντηκόντορος, τριακόντορος, εἰκόσορος. ἐννήρης, ἑπτήρης, τριήρης, διήρης, μονήρης. μακρὰ πλοῖα, στρογγύλα. [ἀκάτια], ἐφόλκια, ἐφολκίδες, λέμβοι, κύδαροι, γαῦλοι, κέλητες, κελήτια, ἐπακτρίδες, ἐπακτροκέλητες, [βάρεις], πορθμεῖον, πορθμίς, ἁλιάς, δίκροτον, ἀμφηρικόν, [[[ἀμφήρης]], διῆρες], [δίκωπον], ἡμιολίς, [ἡμιολία],
Αἰγυπτίοις πολύφθογγος αὐλός, Ὀσίριδος εὕρημα, [ἐκ καλάμης κρι-

2 ἔμπνους A ‖ 5 διάφθορος C | γλῶτται om S ‖ 7 πολύκαμπον A ‖ 10 λατῖνος A ‖ 14 σκηνῆται BC σκινεῖται A κελενίται Π ‖ 16 ὀξὺν εἶχον ΠC ‖ 17 θάμοιρι Π ‖ 19 μόναυλον αὐλὸν C μόνον αὐλὸν Π μὲν αὐλὸν A ‖ 20 χρῆσθαι C ‖ 20—21 δὲ τὸ αὐλ. A δέ τι αὐλ. ΠC ‖ 23 αὐλὴν C ‖ 24 θρηνητικὸν ἦχον ἀφ. C ‖ 25 βαρικῆ S ‖ 26 αὐτὸς A ‖ 27 μελάχλαινοι A ‖ 29 ἐν] πρὸς Π

10 Athen IV 182 E cf 175 E, Hes s λώτινος ‖ 11 ἔλυμος] Athen IV 176 F (Καλλίας ἐν Πεδήταις (I frg 18 Ko) Hes ‖ 16 sqq Athen IV 175 E F: Ἰόβας ‖ 20—21 θρηνῶδες — Καρικόν] Aristoph Ran 1303, cf Schol Plat Lg 800 E ‖ 21 sq Athen IV 182 E: Ἰοβας ‖ 23 Athen IV 184 A ‖ 23—26 Athen IV 174 F cf Plutarch de music 26 (Aristoxenus) ‖ 30 ad monaulum l 16 sqq refert Rohde cl Athen IV 175 E: Ἰόβας

[θίνης]. ἐκλήθησαν δ' αὐλοὶ καὶ κιθαριστήριοι, μεσοκόποι, πυκνοί, δίοποι, ἡμίοποι, σύριγγες, τέλειοι, ὑπόπτεροι. [καὶ Ἀθηνᾶ δ' εἶδος] [αὐλοῦ, ᾧ μάλιστα Νικωφελῆ τὸν Θηβαῖον εἰς τὸν τῆς Ἀθηνᾶς νό-] [μον κεχρῆσθαι λέγουσι. καὶ ἰδοῦθοι δ' αὐλῶν εἶδος.]

78 καὶ ἁρμονία μὲν αὐλητικὴ δωριστὶ καὶ φρυγιστὶ καὶ Λύδιος καὶ Ἰωνικὴ καὶ σύντονος [λυδιστί, ἣν Ἄνθιππος προσεξεῦρεν]· μέλος δὲ Καστόριον μὲν τὸ Λακωνικὸν ἐν μάχαις, ὑπὸ τὸν ἐμβατήριον ῥυθμόν, [Ἡράκιον δὲ τὸ Ἀργολικόν, ὃ ταῖς ἀνθεσφόροις ἐν Ἥρας ἐπηύλουν.] νόμοι δ' Ὀλύμπου καὶ Μαρσύου Φρύγιοι καὶ Λύδιοι, [ὁ δὲ Σακάδα]

79 [νόμος Πυθικός, οἱ δ' Εὐίου κύκλιοι, καὶ Ὀλύμπου ἐπιτυμβίδιοι]. καὶ νόμος δ' ἦν Ἡράκιος εἷς· ὁ δ' Ἡραξ νέος μὲν ἐτελεύτα, Ὀλύμπου δ' ἦν οἰκέτης καὶ μαθητὴς καὶ ἐρώμενος. [καὶ Κλονᾶ δὲ νόμοι] [αὐλητικοὶ ἀπόθετός τε καὶ σχοινίων]. τὸ δὲ σπονδεῖον μέλος εἴποις ἂν ἐπιβώμιον, καὶ ἄλλο τελεστήριον, καὶ ἄλλο κουρητικόν. [τὸ δὲ]

80 [νηγίατον ἔστι μὲν Φρύγιον, [C]Ἱππῶναξ (frg 129 B⁴) δ' αὐτοῦ μνη-[BC] [C]μονεύει[BC]]. ἦν δέ τι καὶ ὀδοντισμὸς εἶδος αὐλήσεως.

καὶ τέως μὲν τέτταρα τρυπήματα εἶχεν ὁ αὐλός· πολύτρητον δ' αὐτὸν ἐποίησε Διόδωρος ὁ Θηβαῖος, πλαγίας ἀνοίξας τῷ πνεύματι τὰς ὁδούς.

καὶ τὸ μὲν γαμήλιον [C]αὔλημα[BC] δύο ἦσαν αὐλοί, μεῖζων ἄτερος, συμφωνίαν μὲν ὑποδηλοῦντες, [μεῖζω δ' εἶναι χρῆναι τὸν ἄνδρα.] οἱ δὲ παροίνιοι σμικροὶ μέν, ἴσοι δ' ἄμφω· τὴν γὰρ ἰσότητα συμποσίῳ

81 πρέπειν. ἥρμοττον [δὲ] πρὸς ὕμνους μὲν οἱ σπονδειακοί, πρὸς παιᾶνας δ' οἱ Πυθικοί· τελείους δ' αὐτοὺς ὠνόμαζον, ηὔλουν δὲ τὸ ἄχορον αὔλημα, τὸ Πυθικόν, οἱ δὲ χορικοὶ διθυράμβοις προσηύλουν.

---

2 ὑπόπτεροι] ὑπερτέλειοι Rohde cl Athenaeo 176 F ‖ 3 ᾧ] ἣ A ‖ 4 ἰδού οἱ αὐλ. Π ‖ 5 δωριστὶ — 6 Ἰωνικὴ om S ‖ 5—6 καὶ Ἰωνικὴ A post σύντονος ‖ 6 c. καὶ λυδιστί Π συντονολυδιστί Boeckh | ἧς τὸ μέλος Ἄ. ἐξεῦρεν δεκαστώριον A | ἄντιφος C ‖ 8 ἡράκιον] θερακιὸν A | ἀνθηφόροις ἐνηρᾶς Π ἀνθεσμοφόροις ἐνείραντες ἐπ. A ‖ 9 νόμος A ‖ 9—10 σακαδονόμος AS ‖ 10 ἐβίου Π συίου C | κύκλοι A κύκνοι ΠC | ἐπιτύμβιοι A ‖ 11 ἡράκιος εἰς ὃν Ἰ. μὲν νέος A ἱέρακος BC ‖ 12 ἱκέτης Π | θρόμενος Π | κλόνια ΠC ‖ 12—13 νόμος αὐλητικὸς A ‖ 20 ἦσαν] εἶεν A ‖ 21 μεῖζων δὲ ἰὸν (ἰοῦ F) χρ. Π μείζονα δ' ὅτι χρῆ C ‖ 23 ὕμπνους F ὕπνους S ‖ πυθικοί] ποιηκοί Π ‖ 25 ποιηκόν Π | χοροὶ A | διθυράμβους BC

---

1 sqq Athen IV 176 F | κιθαριστήριοι] Athen IV 182 C | μεσοκόποι] Hes, Phot ‖ 2 ἡμίοποι] Athen IV 177 A, 182 C ‖ 5—6 Plutarch de mus 8 (1134 B) ‖ 6 aliter Plutarch de mus c 15, 1136 C (Heraclides) ‖ 9 Σακάδα] cf Plutarch de mus c 8, 1134 A ‖ 12—13 Plutarch de mus c 5 ‖ 13 Hes σχοίνων ‖ 15 Hes νινήατος ‖ 15 sq cf IV 84, Hes

[καὶ τοῖς μὲν παρθενίοις αὐλοῖς παρθένοι προσεχόρευον, τοῖς δὲ] [παιδικοῖς παῖδες προσῇδον]· οἱ δ' ὑπερτέλειοι προσεφθέγγοντο ἀνδρῶν χοροῖς. [κιθαριστήριοι δὲ καὶ τοὔνομα διότι κιθάραις προσηύ-] [λουν διδάσκει]. παράτρητοι δὲ θρήνοις ἥρμοττον, ὀξὺ καὶ νωθὲς πνέοντες. τῶν δὲ βομβύκων ἔνθεον καὶ μανικὸν τὸ αὔλημα, πρέπον 82 ὀργίοις. ἔνιοι δὲ καὶ ἐμβατηρίους αὐλοὺς ὠνόμασαν τοὺς ἐπὶ τοῖς προσοδίοις, καὶ δακτυλικοὺς τοὺς ἐπὶ τοῖς ὑπορχήμασιν· [οἱ δὲ ταῦτα] [οὐκ αὐλῶν ἀλλὰ μελῶν [εἶναι] εἴδη λέγουσιν, ὑποθεάτρους δ'] [αὐλοὺς τοὺς ἐπὶ τοῖς νόμοις τοῖς αὐλητικοῖς ἐκάλεσαν. [οἱ δὲ Σύ-BC] [C]ριοι θρασύ τι καὶ εὔτολμον ἐμπνεῖν δοκοῦσιν]. γίγγλαρος δὲ μικρός] [τις αὐλίσκος Αἰγύπτιος, μοναυλίᾳ πρόσφορος. καὶ σκυτάλια [μέντοι BC] [μικρῶν αὐλίσκων τοὔνομα.]

μέρη δ' αὐλημάτων κρούματα, συρίγματα, τερετισμοί τερετί- 83 σματα, [νίγλαροι]. τὰ δὲ πρῶτα τῶν αὐλητῶν μαθήματα πεῖρα καὶ γρόνθων. Ἀθήνησι δὲ καὶ συναυλία τις ἐκαλεῖτο· συμφωνία τις αὕτη τῶν ἐν Παναθηναίοις συναυλούντων. [οἱ δὲ τὴν συναυλίαν εἶδος] [προσαυλήσεως οἴονται ὡς τὴν αὐλῳδίαν]. καὶ μὴν ἴαμβοί γε καὶ παριαμβίδες νόμοι κιθαριστήριοι, οἷς καὶ προσηύλουν. τοῦ δὲ Πυ- 84 θικοῦ νόμου τοῦ αὐλητικοῦ μέρη πέντε, πεῖρα κατακελευσμὸς ἰαμβικὸν σπονδεῖον καταχόρευσις. δήλωμα δ' [ἐστὶν B] ὁ νόμος τῆς τοῦ Ἀπόλλωνος μάχης πρὸς τὸν δράκοντα. καὶ ἐν μὲν τῇ πείρᾳ διορᾷ τὸν τόπον, εἰ ἄξιός ἐστι τοῦ ἀγῶνος· ἐν δὲ τῷ κατακελευσμῷ προκαλεῖται τὸν δράκοντα, ἐν δὲ τῷ ἰαμβικῷ μάχεται. ἐμπεριείληφε δὲ τὸ ἰαμβικὸν καὶ τὰ σαλπιστικὰ κρούματα καὶ τὸν ὀδοντισμὸν ὡς τοῦ δρά-

---

2 προσηύλουν Π ‖ 4 παράτρητοι] ὑπότρητοι? Rohde cl Athenaeo IV 176 F | νωθρὸν A ‖ 6 ὀρθίοις A ‖ 7 προσωδίοις AΠ ‖ 9 αὐτοὺς ἐπὶ A ‖ 10 ἐκπνεῖν Π | γίγγλαρος A Ed pr cf l 14 σιγλαροί (-ός F) Π νίγλαροι C cf l 14 ‖ 11 μονωδία A | σκυτάλια A σκυτάλεια τῶν μικρ. C καὶ σκυτάλιξ μέντοι καὶ σκυταλία μὲν τοῖς μ. Π ‖ 13 μέλη ABC ‖ 14 νίγλαροι ΠC Ed pr γίγγλαροι A cf l 10 ‖ 15 τις] τοῖς S τῆς F ‖ 15—16 αὕτη τῶν] αὐλητῶν ΠBC | ἐπαναθηναίοις Π ‖ 17 προσαυλήσεως Ed pr προαυλήσεως A αὐλήσεως ΠC | τὴν] τὸ A | καὶ μονίαμβοί A | γε] τε Π δὲ BC ‖ 18 περίαμβοι δὲ A | προσῇδον A ‖ 19 μέρη] νόμοι BC

---

1 sqq Athen IV 176 F, XIV 634 F (Didymos) ‖ 5 Hes s βόμβυκες et s βόμβυξ ‖ 10 cf BA^{II} 88. 4 γιγγλάρια ‖ 11 Athen IV 177 A Ἰόβας . . . τοὺς ἑλύμους (Poll IV 74) ὀνομάζεσθαι δὲ καὶ σκυταλείας, Hes σκυτάλια ‖ 14 Hes νίγλαροι Phot s νιγλαρεύων, νιγλάρους, νίγλαροι (Suid) ‖ 18 Hes s παριαμβίδες· Ἀπολλόδωρος παρὰ τοὺς ἰάμβους αὐτάς φησι πεποιῆσθαι, ἃς οἱ κιθαρῳδοὶ ᾄδουσιν, et s ἰαμβίς Phot παρίαμβοι cf Poll IV 16 ‖ 18 sqq de Pythico nomo aliter Strab IX 421, Arg Pind Pyth p 297 Boeckh ‖ 24 ὀδοντισμός cf IV 79

κοντος ἐν τῷ τετοξεῦσθαι συμπρίοντος τοὺς ὀδόντας. τὸ δὲ σπονδεῖον δηλοῖ τὴν νίκην τοῦ θεοῦ. ἐν δὲ τῇ καταχορεύσει ὁ θεὸς τὰ ἐπινίκια χορεύει.

85 εἰ δὲ καὶ ἡ σάλπιγξ τοῖς αὐλοῖς προσήκει, τὸ μὲν εὕρημα Τυρρηνικόν, τὸ δὲ σχῆμα εὐθεῖά τε καὶ καμπύλη, ἡ δ' ὕλη χαλκὸς καὶ σίδηρος, ἡ δὲ γλῶττα ὀστίνη. εἴποις δ' ἂν τὸ φθέγμα τῆς σάλπιγγος καὶ φωνὴν καὶ ἦχον καὶ βόμβον καὶ θόρυβον καὶ κτύπον, ὄρθιον, [C ἐρρωμένον, ῥωμαλέον BC], βαρύ, σεμνόν, σφοδρόν, φρικῶδες, [C ἐμβριθές, BC] [C στερεόν, βίαιον, τραχύ BC], ἐκπληκτικόν, [C ταραχῶδες BC], πολεμιστήριον,
86 [FS [καὶ FS] ἐμπολέμιον]. μέρη δὲ τοῦ πολεμιστηρίου σαλπίγματος ἐξορμητικόν, ἐφ' οὗ ἔλεγον τὸ [σημῆναι τῇ σάλπιγγι, καὶ] ὑπεσήμηναν αἱ σάλπιγγες, [ἐξώτρυναν], [ἐξήγειραν], [FS [C ἐξανήγειραν· καὶ BC FS] παρακελευστικὸν τὸ κατὰ τὴν τῆς μάχης συμβολήν, ἀνακλητικὸν δὲ τὸ ἐκ τῆς μάχης ἀνακαλοῦν, ἀναπαυστήριον δὲ [τὸ] καταζευγνύντων ἐπίφθεγμα. ἔστι δέ τι καὶ πομπικὸν ἐπὶ πομπαῖς καὶ ἱερουργικὸν ἐπὶ
87 θυσίαις Αἰγυπτίοις τε καὶ Ἀργείοις καὶ Τυρρηνοῖς καὶ Ῥωμαίοις. καὶ ὁ μὲν τῇ σάλπιγγι χρώμενος καλεῖται σαλπιγκτής, [τὸ δὲ ῥῆμα σαλ-] [πίζειν], ὁ δ' ἐπὶ τοῖς ἱεροῖς ἱεροσαλπιγκτής· [ἄμεινον δὲ τὸ ἱερὸς] [σαλπιγκτής, διαλυσάντων τοὔνομα. [καὶ Μένανδρος (frg 1030 Ko) B] [C δέ τινας καλεῖ λητοσαλπιγκτάς. BC]

[C εἰ δὲ δεῖ ἀγλευκεῖ ὄντι τῷ ὀργάνῳ παραμῖξαι γλυκύτητα ἱστο- BC] [C ρίας, παρῆλθε μὲν εἰς τοὺς ἀγῶνας ἡ σάλπιγξ ἐκ τῆς ἐμπολεμίου BC] [C μελέτης, ἐφ' ἑκάστῃ δὲ τῇ κλήσει τῶν ἀγωνιστῶν ἐπιφθέγγεται ἐκ BC]
88 [C τοιᾶσδε τῆς αἰτίας. Ἕρμων ἦν κωμῳδίας ὑποκριτής· λαχὼν δὲ BC] [C μετὰ πολλοὺς ὁ μὲν ἀπῆν τοῦ θεάτρου, τῆς φωνῆς ἀποπειρώμενος, BC] [C τῶν δὲ πρὸ αὐτοῦ πάντων ἐκπεσόντων Ἕρμωνα μὲν ὁ κῆρυξ BC] [C ἀνεκαλεῖτο, ὁ δ' οὐχ ὑπακούσας, ζημίᾳ πληγείς, εἰσηγήσατο τοῦ BC]

---

1 τοξεύεσθαι A ‖ 4 προσήκοι ΠBC ‖ 5 εὐθείας Π εὑρεῖα BC ‖ 8 φρικώδη ΠBC | ἐκβριθῆ στεραιόν τραχύν — ταραχώδη Π ‖ 10—11 ἐφορμητικόν BC ‖ 11 ἐξ A ὑφ' Π | ὑπεσήμαινον (-μεναν F) Π ‖ 12—13 παρακ. δὲ τὸ κ. Π ‖ 13—14 ἀνακλητικὸν — μάχης om S ‖ 14 ἀναπαυστήρια A ‖ 15 ἱερουργίαις A ‖ 17 σαλπικτὴς ΠC semper ‖ 17—18 σαλπίττειν C ‖ 18 ἱερὸς σαλ. utroque loco AΠ ‖ 19 λυσάντων Π ‖ 20 λητοσαλ. A ἀριστοσαλπιγκτάς· ληστὰς σαλ. Π ‖ 21 δεῖ ἀγλεύκειόν τι τῷ A διαγλεύκιον τῷ Π ‖ 22 ὁ σάλπιγξ Π ‖ 24 ὑπόκρισις Π ‖ 26 πανῶν Π | ἐκπεσόντων Ed pr ἐκπεσὼν τὸν Ἕ. Π ἐμπεσόντων lacuna ὁ κ. A

4—5 Athen IV 184 A, cf quae ad l 20 adnotavi ‖ 20 Phot λητοσαλπιγκτάς· τοὺς Τυρρηνοὺς ἀπὸ Πισαίου τοῦ εὑρόντος Hes λητοσάλπιγγες. οἱ Τυρρηνοί, ἐπειδὴ πρῶτοι σάλπιγγος εὑρεταὶ γεγόνασιν.

[BC]λοιποῦ τῇ σάλπιγγι τοὺς ἀγωνιστὰς ἀνακαλεῖν. καὶ τὸ μὲν †ʾΕπι-[BC]
[BC]στάδην† τὸν σαλπιγκτὴν παραφέρειν εἰς πεντήκοντα στάδια τῇ σάλπιγγι[BC]
[BC]διικνούμενον, ὥσπερ καὶ Μόλοκρον ἐπὶ τοῦ Φιλοπάτορος αὐλήσανται[BC]
[BC]δύο σάλπιγξιν, [ἴσως] ἕωλον· ʾΑγλαΐς δ' ἡ Μεγαλοκλέους σάλπιγγι[BC] 89
[BC]ὑπερερρωμένως ἐχρήσατο ἀγωνιστηρίῳ τε καὶ πομπικῇ. καὶ μὴν ὅ[BC]
[BC]γε Μεγαρεὺς Ἡρόδωρος ὁπότε σαλπίζοι, χαλεπὸν ἦν αὐτῷ πλησιά-[BC]
[BC]ζειν πλήττομένους διὰ μέγεθος πνεύματος· ἑπτακαίδεκα δὲ πε-[BC]
[BC]ριόδους ἀνείλετο τῶν στεφανιτῶν ἀγώνων. ἦν δὲ μέγεθος [μὲν][BC]
[BC]τεττάρων πήχεων, ὑπέστρωτο δ' ἄρκτου δοράν, καὶ λεοντῆν ἐπεβέ-[BC]
[BC]βλητο. ἓξ δὲ χοίνικας ἄρτου ἐσιτεῖτο, ὀκτὼ δὲ μνᾶς κρεῶν, οἴνου[BC]
[BC]δὲ [FS]δύο[FS] ἔπινε χοᾶς. ἐπλήρου δὲ τῷ πνεύματι τὰ μέγιστα τῶν[BC] 90
[BC]στρατοπέδων, εἰ καὶ ἐκ μηκίστου φθέγξαιτο. περιεῖπε δ' αὐτὸν ἐν[BC]
[BC]τοῖς μάλιστα ὁ πολιορκητὴς Δημήτριος. καί ποτε ὁ μὲν τείχει[BC]
[BC]προσέφερέ τινα μηχανήν, ἡ δ' ἦν ἀπειθής τε καὶ ἐπαχθής. καὶ[BC]
[BC]τοίνυν ὁ μὲν Ἡρόδωρος δύο ὄργανα λαβὼν στερρὸν ἐνέπνευσε τοῖς[BC]
[BC]ὀργάνοις, τὰ δὲ τοσοῦτον μένος τοῖς στρατιώταις ἐνέπνευσεν ὥστε[BC]
[BC]ῥύμη πολλὴ καὶ δρόμος προσεγένετο τῇ μηχανῇ.[BC]

Τὸ δὲ κηρύκων γένος ἱερὸν μὲν Ἑρμοῦ, κατεκήρυττε δ' ἡσυχίαν 91
ἔν τ' ἀγῶσι καὶ ἱερουργίαις, καὶ σπονδὰς περιήγγελλε [FS][καὶ ἐκεχειρίαν][FS]
[FS][ἐπήγγελλε][FS] καὶ τοὺς ἀγωνιστὰς ἀνεκήρυττεν. καὶ ἦν ἀγώνισμα
σάλπιγγος πρεσβύτερον. [BC]εἰς δὲ φιλοτιμίαν τῶν ἐπ' αὐτῷ προελθόν-[BC]
[BC]των οἵ τε καλούμενοι πόδες συνετέθησαν, ἔλεγχον ἔχοντες [εἰς][ABC]
[BC]μῆκος πνεύματος· καὶ ἡ τῶν περὶ τοὺς νεὼς οἰκοδομημάτων ἔκ-[BC]
[BC]δοσις σαφηνείας τινὸς δεομένη. πρότερον δ' ʾΟλυμπίασι τῶν ἐπι-[BC] 92
[BC]χωρίων κηρυττόντων, οἳ ταῖς ἱερουργίαις ὑποδιηκονοῦντο, πρῶτος[BC]

1—2 τὸ μὲν ἐπιστάδην] τὸν λειποσάδην A, ἐπιτάδην cl ἀποτάδην p 228. 24 coni Kuehn ‖ 2—3 στάδια lacuna 10 fere litt capax ἐπὶ τοῦ φ. A ‖ 3 καὶ Salmasius, ἡ Π | μολοκρόν Π et lapis Lacon JGA 69 = CJG 1511 ubi Boeck mutavit Μόλοβρος ‖ 4 ἰσαῖος ἕωλον Π corr Salmasius ‖ 5 ὑπερρωμένης A | ἀγωνιστῆρι A | πολεμικῶ A ‖ 6 Ἡρ. ὃς ὁπότε A Ἡρ. ὁ ποτὲ σάλπιζος Π ὁπότε σαλπίγξῃ Ed pr ‖ 7 πλήττομένης Π ‖ 8 εἴλετο A ‖ 9 ὑπεστρώννυ A ‖ 10 ἄρτων A ‖ 14 τινα μηχανῆ F τὴν ἀμηχανῆ S ‖ 15 στερεὸν Π ‖ 16 ὀργ. τοῖς δὲ τος. Π ‖ 17 δρόμω προσεγένοντο Π | τῆς μηχανῆς A ‖ 19 σπονδαῖς BC | προήγγελλε A ‖ 21 εἰ δὲ φ. τὴν ἐπ' Π ‖ 22 πόδες ἐνουτέθησαν A ‖ 23—24 καὶ πολλὴν τῶν περὶ — ἔκδοσιν A | Epitomatoris vestigium ‖ 24 πρῶτον Π ‖ 25 διοι(δια F)κονοῦντο Π

4—5 ʾΑγλαΐς] Athen X 415 A . . . ὡς δηλοῖ Ποσείδιππος ἐν ἐπιγράμμασιν Aelian V H I 26 . . . καὶ ὁμολογεῖ Ποσείδιππος ταῦτα ‖ 6—17 Ἡρόδωρος] = Athen X 414 E ʾΑμάραντος δ' ὁ ʾΑλεξανδρεὺς ἐν τοῖς περὶ σκηνῆς . . . et Νέστωρ ἐν τοῖς θεατρικοῖς ὑπομνήμασι

[^{BC}τῶν ξένων ἠγωνίcατο τὰ Ὀλύμπια Ἀρχίας Ὑβλαῖος, καὶ τρεῖc^{BC}]
[^{BC}ὀλυμπιάδας ἐφεξῆc ἑνίκα. ἑνίκα δὲ καὶ Πυθοῖ, καὶ εἰκών τιc ἦν^{BC}]
[^{BC}αὐτῷ Πυθικὴ καὶ ἐπίγραμμα^{BC}]

[^{BC}Ὑβλαίῳ κήρυκι τόδ' Ἀρχίᾳ Εὐκλέοc υἱῷ^{BC}]
[^{BC}δέξαι ἄγαλμ' εὔφρων Φοῖβ' ἐπ' ἀπημοcύνῃ,^{BC}]
[^{BC}ὃc τρὶc ἐκάρυξεν τὸν Ὀλυμπίᾳ [αὐτὸc] ἀγῶνα,^{BC}]
[^{BC}οὔθ' ὑπὸ caλπίγγων οὔτ' ἀναδείγματ' ἔχων.^{BC}]

ἀπὸ μὲν [δὴ] τοῦ κήρυκοc ὀνόματα κήρυγμα, κηρυκεία ἐπικηρυκεία,
93 [κηρύκειον, καὶ κηρυκεία τέλουc τινὸc ὄνομα]. κηρύττειν, ἐπικηρυκεύcαcθαι, ἀκήρυκτοc πόλεμοc, ἐπικηρύττειν τινὶ χρήματα καὶ ἀντεπικηρύττειν, προκηρῦξαι πόλεμον, κατακηρῦξαι [ἐκεχειρίαν, [^{BC}κατακη-^{BC}]
[[^{BC}ρῦξαι^{BC}]] ἡcυχίαν, [ὃ καὶ κατακελεῦcαι λέγουcιν]. ἀνακηρῦξαι ἀγωνιcτήν, [^{BC}κηρῦξαί τινα τῶν ἀγωνιcτῶν^{BC}], ἀποκηρῦξαι υἱωνὸν ἢ υἱόν. [^{BC}τὸ μέντοι ὄνομα 'ὁ ἀποκήρυκτοc' οὐκ ἔcτιν ἐν χρήcει τῇ παλαιᾷ,^{BC}]
[^{BC}Θεόπομποc (FHG I p 331. 333) δ' αὐτῷ κέχρηται ὁ cυγγραφεύc·^{BC}]
94 [^{BC}ἀλλ' οὐδὲν Θεοπόμπῳ cταθμητὸν εἰc ἑρμηνείαc κρίcιν^{BC}]. τὸ δ' ἔργον αὐτὸ τῶν κηρύκων κηρυκεῦcαι ἔλεγον, [^{BC}καὶ Ἰcαῖόc (frg 162 Tur) που^{BC}]
[^{BC}λέγει κηρυκευcάτω^{BC}]. προκηρῦξαι δ' ἐcτὶ τὸ προκαλέcαcθαι ὑπὸ κήρυκοc, καὶ ὑποκηρύξαcθαι τὸ προειπεῖν ἡcυχίαν ἢ [[^{FSBC}καὶ^{BC}]] ἐπαγγείλαcθαί τι δημοcίᾳ· [^{BC}προκηρυκευcάμενοι, ὡc Ἰcαῖοc (frg 162 Tur)^{BC}]
[^{BC}εἴρηκεν^{BC}]. τάχα δ' ἄν τιc τοὺc κήρυκαc καὶ ἑρμηνέαc καὶ cπονδοφόρουc [καὶ ἐκεχειροφόρουc] καὶ ἀγγέλουc ὀνομάcειεν. τὸ δὲ φθέγμα αὐτῶν μέγα, ἀδρόν, ὑψηλόν, [^{BC}πρόμηκεc ἐπίμηκεc, caφές, ἀρτίcτομον,^{BC}]
[^{BC}cυνεχές, διηνεκές^{BC}], ἀποτάδην φθεγγόμενον, [^{BC}ἀπνευcτί, καὶ τἆλλα^{BC}]
[^{BC}ὅca ἐν τοῖc περὶ φωνῆc εἴρηται^{BC}].

95 Εἰ δὲ καὶ ὄρχηcιc μέροc μουcικῆc, ῥητέον ὀρχηcτὴc ὀρχηcτικόc, [^{BC}ὀρχήcαcθαι [^{FS}ὑπορχήcαcθαι κατορχήcαcθαι^{FS}] ἐξορχήcαcθαι^{BC}], ὀρχήματα

---

3 αὐτοῦ F αὕτη A ‖ 4 τῷ δ' ἀρχία AF | εὐκλεῶc A ευελεος S ‖ 5 δεῖξεν Π ‖ 6 τρεῖc A | ὀλυμπίαc A ‖ 8 δὴ] οὖν B ‖ 9 τὶ δ ὄνομα Π τὶ ὄνομα C ‖ 9—10 ἐπικηρύττεcθαι BC | post ἐπικηρυκεύcαcθαι Ed pr add ἐπὶ πολέμου ‖ 13 ἀγώνων Π | ὧν υἱα ἤ υἱὸν F τόνδε τινα υἱὸν BC τινὰ τῶν ἀγώνων S iterum ‖ 17 αὐτὸ] ἀπὸ AΠ ‖ 18 κηρυκεύcατο Π κήρυκαc. τὸ προκηρ. A, corr Falckenburg, ἐκηρυκεύcατο Wilam ‖ 20 προcκηρυξάμενοc δὲ Ἰ. Π ‖ 21—22 cπενδοφόρουc Π ‖ 22 ἀγγελεῖc A | ante τὸ add τινὲc Π | τὰ δὲ φθέγματα A ‖ 23 μεταδρῶν ὑψηλῶν Π ‖ 25 ἐcτὶν εἰρημένα Π

---

10 cf Harp ἐπικεκηρυχέναι: Demosth XIX § 21 (Suid, Et M) ‖ 13 ἀποκηρῦξαι υἱόν] Plat Leg XI 829 C ‖ 18 προκηρῦξαι] Soph El 674 Ant 457, προεκήρυττεν Isaeus VI 37 ‖ 20 προcκηρυκεύεcθαι (cf lect II)] Thucyd IV 118. 2 ‖ 21—22 cπονδοφόρουc] cf I 35, VIII 137, BA^{V} 303. 19 Phot

ὑπορχήματα. [ᵇᶜτάχα δὲ καὶ Ὀρχομενὸς παρὰ τὴν τῶν Χαρίτων[BC]
[ᵇᶜὄρχησιν, ὡς Εὐφορίων (frg 66 Meineke A A p 106)[BC]
[ᶜ Ὀρχομενὸν Χαρίτεσσιν ἀφαρέσιν ὀρχηθέντα.[BC]
[ᵇᶜἐπορχούμενος[BC]. ὀρχήστρα, ὀρχηστρίς, ὀρχηστοδιδάσκαλος. [ᵇᶜσχη-[BC]
[ᵇᶜματίσασθαι, σχηματοποιήσασθαι. εὐσχημοσύνη, εὐρυθμία, εὐαρμοστία.[BC]
[ᵇᶜνεῦσαι συναπονεῦσαι, μορφάσαι, παραγαγεῖν τὴν κεφαλήν, διενεγκεῖν,[BC] 96
[ᵇᶜ⌊περιενεγκεῖν⌋, περιαγωγῇ χρήσασθαι, τῶν χειρῶν περιαγωγῇ, πη-[BC]
[ᵇᶜδῆσαι[BC], πυρριχίσαι· πυρρίχη ἐνόπλιος ὄρχησις. εἴποις δ' ἂν ὀρχηστὴν
κοῦφον, [ᵇᶜἐλαφρόν[BC], πηδητικόν, ἁλτικόν, [εὐάρμοστον, εὔρυθμον,]
[εὐσχήμονα] πολυσχήμονα, ὑγρόν, [ᵇᶜἐναργῆ, ἐνδεικτικόν, δηλωτικόν,[BC]
[ᵇᶜἐπιδεικτικόν, παντοδαπόν[BC], εὐτράπελον, [ᵇᶜεὔτρεπτον[BC], δημοτερπῆ
[ᵇᶜὀχλοτερπῆ[BC], δημαγωγικόν, [ᵇᶜῥᾴδιον, πρόχειρον, εὔκολον[BC], ὑγρομελῆ,
[ᵇᶜεὐκαμπῆ[BC], λυγιστικόν, [ᵇᶜἐπικλώμενον, ἐξυγραινόμενον, ταχύχειρα τα-[BC] 97
[ᵇᶜχύπουν, εὐκέφαλον, εὔφορον ἰσόφορον, εὔτακτον·[BC] καὶ τὰ πράγματα
[ᵇᶜκουφότητα, ἐλαφρότητα, πήδημα, ἅλμα, εὐαρμοστίαν[BC], εὐρυθμίαν,
εὐσχημοσύνην, ὑγρότητα, [ᵇᶜἐναργότητα, ἔνδειξιν, δήλωσιν, ἐπίδειξιν,[BC]
πανήγυριν, τέρψιν, [ᵇᶜῥᾳστώνην, εὐκολίαν[BC], λυγισμόν, κάμψιν, παρα-
γωγήν, παραφοράν, [ᵇᶜεὐχειρίαν[BC] ὀξυχειρίαν [ᵇᶜταχυχειρίαν[BC], εὐποδίαν,
[ᵇᶜεὐφορίαν ἰσοφορίαν, εὐταξίαν[BC]. καὶ τὰ ῥήματα κουφισθῆναι, ἐλα- 98
φρίσασθαι, [ᵇᶜ⌊πηδῆσαι, παραδηλῶσαι, ἐπιδείξασθαι⌋ [FSἐνδείξασθαι[FS] παρ-[BC]
[ᵇᶜενδείξασθαι [FSπαρεπιδείξασθαι[FSBC]], λυγίσαι τὸ σῶμα, [ᵇᶜκάμψαι, κλάσαι.[BC]
καὶ τὰ ἐπιρρήματα [ᵇᶜὀρχηστικῶς, εὐσχημόνως[BC] πολυσχημόνως, εὐ-
ρύθμως, εὐαρμόστως, ὑγρῶς, [ᵇᶜἐναργῶς, ἐνδεικτικῶς, δηλωτικῶς, ἐπι-[BC]
[ᵇᶜδεικτικῶς, πανηγυρικῶς, τερπνῶς, ῥᾳδίως, εὐκόλως, εὐφόρως ἰσοφό-[BC]
[ᵇᶜρως, εὐτάκτως· τὰ γὰρ ἀπὸ τῶν ἄλλων τραχέα.[BC]
εἶδη δ' ὀρχημάτων ἐμμέλεια τραγική, κόρδακες κωμικοί, σίκιν- 99

---

1 ὀρχούμενος AΠ et 3 -νον (νῶν S) corr Pierson | χορητῶν S χοριτῶν F (ω super o script) ‖ 3 χαρίτων A | ἀφαίρεσιν Π φάρεσιν A corr Pierson ‖ 4 ὀρχηστρίς] ὀρχήστρια A ‖ 5 εὐαρμοσία A ‖ 6 μορφῶσαι A ‖ 7 παραγωγῇ χρ. Π ‖ 8 πυρριχῆσαι AΠC ‖ 11 εὔτρεπτον Ed pr εὔτερπον A εὔστρεπτον Π ‖ 13 ταψυχειρὰ Π ‖ 14 ἐρεῖς δὲ ἐπὶ πράγματος BC ‖ 16 ἐνέργειαν Π ‖ 18 ὀξυχειρίαν post εὐταξίαν l 19 A ‖ 19 ῥηματικῶς δὲ BC ‖ 20—21 παρενδείξασθαι cf p 234. 21 ‖ 22—23 πολυσχημόνως ante ὑγρῶς Π ‖ 26 ὀρχησμάτων A ‖ 26—p 230. 1 σικυνὶς A

---

4 ὀρχηστρίς] Thom Mag 256. 4 ‖ 8 πυρρίχη] Bachm L (Phot Suid) πυρρίχαις· ταῖς ἐνοπλίοις ὀρχήσεσι ‖ 15 Hes ἅλμα· πήδημα ‖ 26 sqq Athen XIV 629 D sqq, I 20 D sq ‖ 23 ἐμμέλεια] Hes | κόρδακες] Harp κορδακισμός . . . Ἀριστόξενος ἐν τῷ περὶ τῆς τραγικῆς ὀρχήσεως ‖ 26 sq ἐμμέλεια, κόρδακες, σίκιννις] Ael D Lex ap Eustath 1167. 19 (p 157. 23 Schw) ἐμμέλεια τραγικὴ ὄρχησις, ὥσπερ ἡ κωμικὴ κόρδαξ καὶ ἡ σατυρικὴ σίκιννις (Phot σίκιννις, ex Phot Et gen, Et M) = Hes, Harp κορδακισμός (Suid)

νις κατυρική. ἐνόπλιοι ὀρχήσεις πυρρίχη τε καὶ τελεσιάς, ἐπώνυμοι δύο Κρητῶν ὀρχηστῶν, Πυρρίχου [τε] καὶ Τελεσίου. ἐκαλεῖτο δέ τι [καὶ ξιφισμὸς] καὶ ποδισμός, καὶ [[[διαρ]]]ρικνοῦσθαι, ὅπερ ἦν τὸ τὴν ὀσφὺν φορτικῶς περιάγειν. ἦν δὲ καὶ κῶμος εἶδος ὀρχήσεως
100 καὶ τετράκωμος, Ἡρακλέους ἱερὰ καὶ πολεμική. ἦν δὲ [καὶ] κωμαστικὴ μάχην καὶ πληγὰς ἔχουσα, [καὶ ἡδύκωμος ἡδίων, καὶ κνισμὸς] [καὶ ὄκλασμα· οὕτω γὰρ ἐν Θεσμοφοριαζούσαις (ν 1175) ὀνομά-] [ζεται τὸ ὄρχημα τὸ Περσικὸν καὶ σύντονον. τὴν δ' αὐτὴν καὶ ὑγρὰν] [ὠνόμαζον]. καὶ φαλλικὸν ἐπὶ Διονύσῳ, [καὶ καλλίνικος ἐφ' Ἡρα-] [κλεῖ]. καὶ κολαβρισμὸς Θρᾴκιον ὄρχημα καὶ Καρικόν· ἦν δὲ καὶ τοῦτο ἐνόπλιον. [καὶ βαυκισμὸς Βαύκου ὀρχηστοῦ κῶμος ἐπώ-] [νυμος], ἁβρά τις ὄρχησις καὶ τὸ σῶμα ἐξυγραίνουσα [καὶ στρόβιλος.]
101 [μακτρισμὸς δὲ καὶ ἀπόκινος καὶ ἀπόσεισις καὶ ἴγδις ἀσελγὴ εἴδη] [ὀρχήσεων ἐν τῇ τῆς ὀσφύος περιφορᾷ]. ὁ δὲ μόθων φορτικὸν ὄρχημα καὶ ναυτικόν. τὴν δὲ γέρανον κατὰ πλῆθος ὠρχοῦντο,
ἕκαστος ὑφ' ἑκάστῳ κατὰ στοῖχον, τὰ ἄκρα ἑκατέρωθεν τῶν ἡγεμόνων ἐχόντων, τῶν περὶ Θησέα πρῶτον περὶ τὸν Δήλιον βωμὸν ἀπομι-

---

3 ποδισμὸς] διποδισμός Kaibel (Herm 30. 432) coll Athen XIV 630 A cf infra διποδία p 231. 1 | ρικνοῦσθαι ΠBC ῥήνυσθαι A, corr Kaibel cll Et M || 6 μάχη ΠC | ἡδείων C || 7 ἔκλασμα Π || 9 καὶ φαλλικὸς A κεφαλλικὸν ὄρχημα B || 11 βασκισμὸς βάσκου Π βαύσκου C || 12 ἁβραυστὶς A | ὑγραίνουσα A || 13 ματρισμὸς C καὶ τρισμὸς S βακτρισμὸς F βακτριασμὸς A, corr Casaub | δὲ] μὲν Π | ἀπόκει(οι S)νος· καὶ ἀπόσιγνος τίσις καὶ ἴγδις Π || 15 ὄρχημα] σχῆμα A | πράνον Π || 16 ἑκατέρων BC

---

1 πυρρίχη] Hes s πυρριχίζειν | τελεσιάς] Hes τελεσία, Athen XIV 630 A (Ἱππαγόρας FHG IV 430) aliter XIV 629 D τελεσιάς utroque loco || 3 ξιφισμός] Hes, Pausaniae L (p 194. 13 Schw) ap Eustath 1167. 23 || 3—4 Et M 270. 5 (ex Photio) διαρρικνοῦσθαι· τὸ τὴν ὀσφὺν φορτικῶς περιάγειν. Κράτης Τροφωνίῳ (frg 219 Ko)· ἴξιφιζε καὶ σπόδιζε (διπόδιζε Kaibel) καὶ διαρρικνοῦ' = Zonar 529, Hes διαρικνοῦσθαι || 4 sqq Athen XIV 618 C: Τρύφων ἐν δευτέρῳ Ὀνομασιῶν (frg 109 Vels) inter αὐλήσεων ὀνομασίας || 7 Schol Aristoph Thesm 1175 . . . ὄκλασμα, περὶ οὗ Ἰόβας μακρὸν πεποίηται λόγον ἐν τοῖς περὶ τῆς θεατρικῆς ἱστορίας || 9 φαλλικόν] Hes | καλλίνικος] Hes κ. εἶδος ὀρχήσεως (αὐλήσεως Trypho ap Athen XIV 618 C) ἐπὶ τῇ Κερβέρου ἀναγωγῇ || 10 κολαβρισμός] Athen XIV 629 D || 11 βαυκισμός Hes || 12 στρόβιλος Athen XIV 630 A, Hes Phot L || 13 Athen XIV 629 C τὴν δ' ἀπόκινον . . . ἧς μνημονεύει Κρατῖνος ἐν Νεμέσει (frg 51 Ko) καὶ Κηφισόδωρος ἐν Ἀμαζόσιν (I frg 800 Ko) Ἀριστοφάνης τ' ἐν Κενταύρῳ (frg 463 Ko) . . ., ὕστερον μακτρισμὸν ὠνόμασαν et 629 F γελοῖαι δ' εἰσὶν ὀρχήσεις ἴγδις (cf Poll X 103, Et M) καὶ μακτρισμὸς ἀπόκινός τε . . . || 14 μόθων Athen XIV 618 C (Trypho frg 109 Vels), Schol Aristoph Plut 279 Phot Hes || 15 γέρανος] Hes

μηcαμένων τὴν ἀπὸ τοῦ λαβυρίνθου ἔξοδον. [καὶ διποδία δ'] [ὄρχημα Λακωνικόν. ἦν δὲ καὶ γίγγρας πρὸς αὐλὸν ὄρχημα, ἐπώ-] 102
[νυμον τοῦ αὐλήματος]. ἑκατερίδες δὲ καὶ θερμαυστρίδες ἔντονα ὀρχήματα, τὸ μὲν χειρῶν κίνηcιν ἀcκοῦν, ἡ δὲ θερμαυστρὶc πηδητι-
5 κόν. τὰ δ' ἐκλακτίcματα γυναικῶν ἦν ὀρχήματα· ἔδει δ' ὑπὲρ τὸν ὦμον ἐκλακτίcαι. καὶ βίβαcιc δέ τι ἦν εἶδοc Λακωνικῆc ὀρχήcεωc, ἧc καὶ τὰ ἆθλα προυτίθετο οὐ τοῖc παιcὶ μόνον ἀλλὰ καὶ ταῖc κόραιc· ἔδει δ' ἄλλεcθαι καὶ ψαύειν τοῖc ποcὶ πρὸc τὰc πυγάc, καὶ ἠριθμεῖτο τὰ πηδήματα, ὅθεν [cκαὶ] ἐπὶ μιᾶc ἦν ἐπίγραμμα (Ahrens
10 Dial II 483)

χείλιά †ποκα† βίβαντι, [πλεῖcτα δὴ τῶν πήποκα.]

τὰc δὲ πινακίδαc ὠρχοῦντο οὐκ οἶδα εἴτ' ἐπὶ πινάκων εἴτε πί- 103
νακαc φέροντεc· [τὸ γὰρ κερνοφόρον ὄρχημα οἶδ' ὅτι λίκνα ἢ]
[ἐcχαρίδαc φέροντεc· κέρνα δὲ ταῦτα ἐκαλεῖτο]. τὸ δ' Ἰωνικὸν
15 Ἀρτέμιδι ὠρχοῦντο Cικελιῶται (CGF I p 214. 192 Kaibel) μάλιcτα. τὸ δ' ἀγγελικὸν ἐμιμεῖτο cχήματα ἀγγέλων. ὁ δὲ μορφαcμὸc παντοδαπῶν ζώων ἦν μίμηcιc. ἦν δέ τι καὶ cκώψ, τὸ δ' αὐτὸ καὶ cκωπίαc, εἶδοc ὀρχήcεωc ἔχον τινὰ τοῦ τραχήλου περιφορὰν κατὰ τὴν τοῦ ὄρνιθοc μίμηcιν, ὃc ὑπ' ἐκπλήξεωc πρὸc τὴν ὄρχηcιν ἁλίcκεται.
20 ὁ δὲ λέων ὀρχήcεωc φοβερᾶc εἶδοc. ἦν δέ τινα καὶ Λακωνικὰ 104
ὀρχήματα, διὰ Μαλέαc· Cειληνοὶ δ' ἦcαν, καὶ ὑπ' αὐτοῖc Cάτυροι ὑπότροπα ὀρχούμενοι. καὶ ἴθυμβοι ἐπὶ Διονύcῳ, καὶ καρυάτιδεc

---

2 γίγγρας II | F in marg a manu I γρ. πρόcαυλον ‖ 5 γυναικῶν] γυμνικῶν Bentley Phal p 299 Lips ‖ 6 βέβηcιc A βήβηcιc II ‖ 8 δεῖ II | ψαύεcθαι BC ‖ 9 ἀνηριθμεῖτο BC | καὶ ἐπίγρ. ΠBC ‖ 11 χίλια ποκὲ lacuna 18 litt. fere capax τὰc δὲ πιν. = l 12 A χίλι' ἅ Bekker | βίβατι Meineke | δὴ C δεῖ II ‖ 13 λίκνα] κερνᾶ A ‖ 16 τὸ cχῆμα A ‖ 17 ἦν] ἡ BC ‖ 18 cκωπία A cκοπιᾶ S cκοπιᾶc BC | κατὰ] καὶ A ‖ 21 δειμαλέα A δημαλέα II | δ' ἦcαν] cάτυροι A | αὐτοῖc] αὐλοῖc coni Meineke ‖ 22 ὑπότροχα ΠBC περίτροχα coni Meineke | καρυάνδεc BC

---

1 διποδία Cratinus (frg 162 Ko) Hes δ. ὀρχήcεωc εἶδοc· οἱ δὲ διποδιcμόν ‖ 2 γίγγρας Athen XIV 618 C (Trypho) ‖ 3 ἑκατερίδες, θερμαυστρίδες] Athen XIV 630 A Phot, Hes ‖ 5 Hes ἐκλακτιcμός (sic) ‖ 6 ἐκλακτίcαι] Aristoph Vesp 1492. 1525 ‖ 13—16 Athen XIV 629 E κερνοφόροc . . . παρὰ δὲ Cυρακοcίοις καὶ Χιτωνέαc Ἀρτέμιδοc ὄρχηcίc τίc ἐcτιν ἴδιοc καὶ αὔληcιc. ἦν δέ τιc καὶ Ἰωνικὴ ὄρχηcιc παροίνιοc. καὶ τὴν ἀγγελικὴν δὲ πάροινον ἠκρίβουν ὄρχηcιν. Hes ἀγγελίη. ὄρχηcίc τιc παροίνιοc. Cf Rohde de Pollucis font p 30 sq Cf p 232. 6 sq ‖ 16—20 Athen XIV 629 F γελοῖαι δ' εἰcὶν ὀρχήcειc . . . ἔτι δὲ μορφαcμὸc καὶ γλαὺξ καὶ λέων . . . ‖ 21 διὰ Μαλέαc] cf. Pausan III 25. 2, 3 et Wilam Herm 33. 515 ‖ 22 ἴθυμβοι] cf Hes et Phot (ᾠδή) | καρυάτιδεc] Hes s καρυᾶτιc, Phot s καρυάτεια

ἐπ' Ἀρτέμιδι. [καὶ βαρυλλικά, τὸ μὲν εὕρημα Βαρυλλίχου, προσωρχοῦντο δὲ γυναῖκες Ἀρτέμιδι καὶ Ἀπόλλωνι]. οἱ δ' ὑπογύπωνες γερόντων ὑπὸ βακτηρίαις τὴν μίμησιν εἶχον· οἱ δὲ γύπωνες ξυλίνων κώλων ἐπιβαίνοντες ὠρχοῦντο, διαφανῆ ταραντινίδια ἀμπεχόμενοι.

[καὶ μὴν Ἐσχάρινθον ὄρχημα ἐπώνυμον ἦν τοῦ εὐρόντος αὐλητοῦ,] 5
105 τυρβασίαν δ' ἐκάλουν τὸ ὄρχημα τὸ διθυραμβικόν, [μιμητικὴν δὲ δι'] [ἧς ἐμιμοῦντο τοὺς ἐπὶ τῇ κλοπῇ τῶν ἑώλων κρεῶν ἁλισκομένους.] λομβρότερον δ' ἦν ὃ ὠρχοῦντο γυμνοὶ σὺν αἰσχρολογίᾳ. ἦν δὲ καὶ τὸ σχιστὰς ἕλκειν σχῆμα ὀρχήσεως χωρικῆς, ἔδει δὲ πηδῶντα ἐπαλλάττειν τὰ σκέλη. καὶ μὴν τραγικῆς ὀρχήσεως σχήματα σιμὴ χείρ, 10
καλαθίσκος, χεὶρ καταπρανής, ξύλου παράληψις, διπλῆ, θερμαυστρίς, κυβίστησις, [παραβῆναι [τὰ] τέτταρα. ὁ δὲ] τετράκωμος, [τὸ τῆς] [ὀρχήσεως εἶδος, οὐκ οἶδα εἴ τι προσῆκον ἦν τοῖς Ἀθήνησι τετρα-] [κώμοις, οἳ ἦσαν Πειραιεῖς Φαληρεῖς Ξυπεταίονες Θυμοιτάδαι.]

106 Τούτοις δ' ἂν προσήκοι χορός, χορευτής, χοροποιία, χοροστασία, 15
χορικὸν μέλος, χορεῦσαι, [συγχορευτής], χορηγός, χορηγία, χορήγιον ὁ τόπος οὗ ἡ παρασκευὴ τοῦ χοροῦ. [πρόσχορον δ'] Ἀριστοφάνης (frg 843 Ko) τὴν συγχορεύουσαν [κέκληκεν· τὴν δ' αὐτὴν καὶ] συγχορεύτριαν (frg 863 Ko). [ἡγεμὼν χοροῦ, κορυφαῖος χοροῦ], χορο-

---

1 βαρυλλικὰ AC βαρβυλλικὰ Π | βαρυλλύχου A βαραλλίκου C βαρβυλλίχου Π, βρυάλιχα — Βρυαλίχου coni Schneider Saxo ‖ 3 βακτηρίας A ‖ 4 κόλων F ποδῶν A κάλων Meineke | διαφανεῖ A | ταραντινίδι A ταραντίνι . . . ἀμπ. B ‖ 5 καὶ μῆνες χαρίνων μὲν ὄρχ. A Ἐσχάρινον Meineke | δ' ἦν A ‖ 6 μιμητικήν error subest cf quae infra adnotavi ‖ 7 πλοκῆ Π | κρεῶν] μερῶν ΠC ‖ 8 λαμπρότερον ΠBC | ἦν ὠρχοῦντο ΠBC ‖ 8—9 δι' ἣν δὲ καὶ τὸ σχ. A ‖ 9 χορικῆς BC ‖ 10 σιμὴ] εἰμὶ A ‖ 10—11 σιμηχεῖρα, καλαθίσκον Π c. χειροκαλαθίσκος BC ‖ 11 χεῖρα καταπίνης Π ‖ 12 τετταράκωμος Π ‖ 14 ὀξυπετεῶνες A ὀξυπεταίονες C ξυπαιτεῶνες Π ‖ 16 μέρος BC | χορηγός, χορευτής (iterum), ἥ τε χορηγία A ‖ 17 χοροῦ] χορηγοῦ ΠBC ‖ 18 χορεύουσαν Π

---

1 Hes βρυλλοχισταί· οἱ αἰσχρὰ προσωπεῖα περιτιθέμενοι γυναικεῖα καὶ ὕμνους ᾄδοντες — βρυδαλίχα· πρόσωπον γυναικεῖον . . . — βυλλίχαι· χοροί τινες ὀρχηστῶν παρὰ Λάκωσι, etc — βρυαλικταί cf Maur Schmidt adnotationes et Kaibel CGF I ad Rhintonis frg 16 ‖ 6 τυρβασία Hes ‖ 7 cf Hes κλώπεια· ὄρχησις τις, ὡς Ἰόβας ἐν τετάρτῳ θεατρικῶν et Athen XIV 621 D sq ἐμιμεῖτο . . κλέπτοντάς τινας ὀπώραν, . . δικηλισταί, ὡς ἄν τις σκευοποιοὺς εἴπῃ καὶ μιμητάς ‖ 10 σιμὴ χ. — 11 παράληψις = Athen XIV 630 A qui tamen ea non inter tragica refert ‖ 10 σιμὴ χεῖρ] Hes ‖ 11 καλαθίσκος] Hes ‖ 11 διπλῆ] Hes ‖ 12 Hes τετράκωμος· μέλος τι σὺν ὀρχήσει πεποιημένον εἰς Ἡρακλέα ἐπινίκιον. ἐκαλεῖτο δὲ τέσσαρες κῶμοι. Athen XIV 618 C (Trypho)

λέκτης, χοροποιός, [διδάσκαλος {ὑποδιδάσκαλος}, {χοροδιδάσκαλος,}] δεξιοστάτης ἀριστεροστάτης, [{δευτεροστάτης} τριτοστάτης], καὶ τὴν] [γυναῖκα δὲ τριτοστάτιν Ἀριστοφάνης (frg 487 Ko) καλεῖ]. παιδικὸς 107
χορός, ἀνδρικός, κωμικός, τραγικός. καὶ ἡμιχόριον δὲ καὶ διχορία
καὶ ἀντιχόρια. [ἔοικε δὲ ταὐτὸν εἶναι ταυτὶ τὰ τρία ὀνόματα·] ὁπόταν γὰρ ὁ χορὸς εἰς δύο μέρη τμηθῇ, τὸ μὲν πρᾶγμα καλεῖται διχορία, ἑκατέρα δ' ἡ μοῖρα ἡμιχόριον, ἃ δ' ἀντᾴδουσιν, ἀντιχόρια. [τριχορίαν δὲ Τύρταιος ἔστησε, τρεῖς Λακώνων χορούς, καθ' ἡλικίαν] [ἑκάστην, παῖδας ἄνδρας γέροντας]. ἐπὶ δὲ χοροῦ [{καὶ}] συμφωνία
καὶ συνῳδία καὶ συναυλία. καὶ ἡ μὲν εἴσοδος τοῦ χοροῦ πάροδος 108
καλεῖται, ἡ δὲ κατὰ χρείαν ἔξοδος ὡς πάλιν εἰσιόντων μετάστασις, ἡ δὲ μετὰ ταύτην εἴσοδος ἐπιπάροδος, ἡ δὲ τελευταία ἔξοδος ἄφοδος. καὶ ἐπεισόδιον δ' ἐν δράμασι πρᾶγμα πράγματι συναπτόμενον. καὶ μέλος δέ τι ἐξόδιον, ὃ ἐξιόντες ᾖδον. μέρη δὲ χοροῦ στοῖχος [καὶ] [ζυγόν]. καὶ τραγικοῦ μὲν χοροῦ ζυγὰ πέντε ἐκ τριῶν καὶ στοῖχοι τρεῖς ἐκ πέντε· πεντεκαίδεκα γὰρ ἦσαν ὁ χορός. καὶ κατὰ τρεῖς μὲν 109
εἰσῄεσαν, [{εἰ κατὰ ζυγὰ γίνοιτο ἡ πάροδος· εἰ δὲ κατὰ στοίχους,}] {ἀνὰ πέντε εἰσῄεσαν}]. ἔσθ' ὅτε δὲ καὶ καθ' ἕνα ἐποιοῦντο τὴν πάροδον. ὁ δὲ κωμικὸς χορὸς τέτταρες καὶ εἴκοσιν [{ἦσαν}] οἱ χο-
ρευταί, ζυγὰ ἕξ, ἕκαστον [{δὲ}] ζυγὸν ἐκ τεττάρων, στοῖχοι δὲ τέτταρες, ἓξ ἄνδρας ἔχων ἕκαστος στοῖχος. ὁπότε μὴν ἀντὶ τετάρτου ὑποκριτοῦ δέοι τινὰ τῶν χορευτῶν εἰπεῖν ἐν ᾠδῇ, παρασκήνιον καλεῖται [τὸ πρᾶγμα, ὡς ἐν Ἀγαμέμνονι Αἰσχύλου· εἰ δὲ τέταρτος] 110
[ὑποκριτής τι παραφθέγξαιτο, τοῦτο παραχορήγημα ὀνομάζεται, καὶ] [πεπρᾶχθαί φασιν αὐτὸ ἐν Μέμνονι Αἰσχύλου]. τὸ δὲ παλαιὸν ὁ τραγικὸς χορὸς πεντήκοντα ἦσαν, ἄχρι τῶν Εὐμενίδων Αἰσχύλου· πρὸς δὲ τὸν ὄχλον αὐτῶν τοῦ πλήθους ἐκπτοηθέντος συνέστειλεν ὁ νόμος εἰς ἐλάττω ἀριθμὸν τὸν χορόν.

τῶν δὲ χορικῶν ᾀσμάτων τῶν κωμικῶν ἔν τι καὶ ἡ παρά- 111

---

1 ὑποδιδάσκαλος om F ‖ 2 post ἀριστοτεροστάτης C add λαιοστάτης ‖ 4 διχορεία etc A ‖ 6 δύο νεμηθῆ ΠBC ‖ 7 εἰ δ' — ἀντιχορείαν A ‖ 12 μετ' αὐτὴν A | τελεία ΠBC ‖ 13 δράματι AΠ ‖ 14 εἶδον Π | μέρος Π | στίχος semper ΠC, saepius A ‖ 15 ζυγός A ‖ 17 ἡ δὲ κατὰ στ. Π ‖ 25 ἐν ἀγαμέμνονι A ‖ 28 ἐλαττονα ῥυθμὸν A ἔλαττον ἀρ. Π ‖ 29 κωμαστικῶν A

---

1 ὑποδιδάσκαλος] Phot, Hes ‖ 2 Hes τριτοστάτης· Ἀριστοφάνης ἐν Σκην[ὰς καταλαμβανούσαις] ‖ 8 cf Plutarch Lycurg 21 τριῶν χορῶν κατὰ τὰς τρεῖς ἡλικίας συνισταμένων ἐν ταῖς ἑορταῖς ὁ μὲν τῶν γερόντων ἀρχόμενος ᾖδεν . . . de Lycurgo non de Tyrtaeo narratum ‖ 29 sqq cf Platonium de Comoedia, Tzetzae Jamb π. τραγῳδίας, Kaibel Abhdlg Gött Ges N F Π 4 p 62

βαcιc, ὅταν ἃ [ὁ] ποιητὴc πρὸc τὸ θέατρον βούλεται λέγειν, ὁ χορὸc [παρελθὼν] λέγῃ. [ἐπιεικῶc δ' αὐτὸ ποιοῦcιν οἱ κωμῳδο-] [ποιηταί, τραγικὸν δ' οὐκ ἔcτιν· ἀλλ' Εὐριπίδηc αὐτὸ πεποίηκεν ἐν] [πολλοῖc δράμαcιν. ἐν μέν γε τῇ Δανάῃ τὸν χορὸν τὰc γυναῖκαc] [ὑπὲρ αὑτοῦ τι ποιήcαc παράδειν, ἐκλαθόμενοc ὡc ἄνδραc λέγειν] [ἐποίηcε τῷ cχήματι, τῆc λέξεωc τὰc γυναῖκαc. καὶ Cοφοκλῆc δ'] [αὐτὸ ἐκ τῆc πρὸc ἐκεῖνον ἁμίλληc ποιεῖ cπανιάκιc, ὥcπερ ἐν Ἰπ-]
112 [πόνῳ]. τῆc μέντοι παραβάcεωc τῆc κωμικῆc ἑπτὰ ἂν εἴη μέρη, κομμάτιον [παράβαcιc μακρὸν cτροφὴ ἐπίρρημα ἀντίcτροφοc ἀντε-] [πίρρημα, ὧν τὸ μὲν κομμάτιον] καταβολή τίc ἐcτι βραχέοc μέ- λουc, ἡ δὲ παράβαcιc ὡc τὸ πολὺ μὲν ἐν ἀναπαίcτῳ μέτρῳ, εἰ δ' οὖν καὶ ἐν ἄλλῳ, ἀνάπαιcτα τὴν ἐπίκλην ἔχει. τὸ δ' ὀνομαζόμενον μακρὸν ἐπὶ τῇ παραβάcει βραχὺ μελύδριόν ἐcτιν, ἀπνευcτὶ ᾀδόμενον. [τῇ δὲ cτροφῇ ἐν κώλοιc προαcθείcῃ τὸ ἐπίρρημα ἐν τετραμέτροιc] [ἐπάγεται. καὶ τῆc ἀντιcτρόφου τῇ cτροφῇ ἀνταcθείcηc, τὸ ἀντε-] [πίρρημα τελευταῖον [BCFS][ὂν][BCFS] τῆc παραβάcεώc ἐcτι τετράμετρα, [οὐκ] [ἐλάττω τὸν ἀριθμὸν τοῦ ἐπιρρήματοc.]

113 Εἰcὶ δ' ἀπὸ τούτων καὶ ὑποκριταὶ καὶ ὑπόκριcιc καὶ ἀντίκριcιc, καὶ ὑποκρίναcθαι τὰ ἰαμβεῖα, διαθέcθαι, [P]cχηματίcαcθαι, [FS]ῥῆcιν δια-[FSBC] [BCFS]περάνaσθαι[FSBC], ῥῆcιν ἀποτεῖναι, [P][εἶραι] cυνεῖραι, ἀποτάδην, ἀπνευcτί,[BC] ὑπορχήcαcθαι, [P]ἐνδείξαcθαι [FS]παρενδείξαcθαι[FS], νεῦcαι, χλευάcαι, μορ-[BC] [P]φάcαι[BC]. cτιχομυθεῖν [δ'] ἔλεγον τὸ παρ' ἓν ἰαμβεῖον ἀντιλέγειν,
114 καὶ τὸ πρᾶγμα cτιχομυθίαν. [P]εἴποιc δ' ἂν βαρύcτονοc ὑποκριτήc,[BC] [P]βομβῶν περιβομβῶν, ληκυθίζων, λαρυγγίζων, [FS]φαρυγγίζων[FS]· βαρύ-[BC] [P]φωνοc [FS]δὲ[FS] καὶ λεπτόφωνοc καὶ γυναικόφωνοc καὶ cτρηνόφωνοc,[BC] [P]καὶ ὅca cὺν τούτοιc ἄλλα, ἐν τοῖc περὶ φωνῆc προείρηται (II 111 sq).[BC] ἀναζυγῶcαι δὲ τὸ φθέγμα ἔλεγον, καὶ καταπεπνῖχθαι τὸ φθέγμα. [P]καὶ Ἀριcτοφάνηc (frg 605 Ko) πού φηcι[BC]

[P]φθέγξαι cὺ τὴν φωνὴν ἀνατειχίcαc ἄνω.[BC]

[P]ὁ δ' αὐτὸc (frg 606 Ko) καὶ[BC]

[P]φθέγμα κεκράτηκεν.[BC]

---

1 βούληται AΠBC corr cd Antverp | λέγει ΠBC ‖ 2—3 κωμωδοὶ π. A ‖ 4 δαναῆ Π δαναίδι C ‖ 5 παιδεῖν A | ὀκλαθόμενοc Π ‖ 6 ἐν τῷ cχ. AΠ | τῆcδε τῆc λ. ΠC ‖ 7 ἁμάλληc Π ‖ 7—8 ἱππώνῳ A ‖ 10—11 μέρουc ABC ‖ 11 ἐνὶ ἀναπ. A ‖ 11—12 ἢ δ' οὖν A ‖ 12 ἀναπαίcτην ἐπίκλην A ‖ 14 ἔγκωλοι A | προαυθείcη A ‖ 15 ἀνταυθείcηc A ἀνταθείcηc Π ‖ 16 ἐcτὶ. τὰ δὲ τετρ. A ‖ 20 εἶραι] ἐγεῖραι Π Ed pr, corr Kuehnius ‖ 21 παρενδείξαcθαι cf p 229. 20 sq ‖ 26 εἴρηται A ‖ 29 ἀνατειχίcαc F ἀνατυχήcαc S ἀναcτοιχήcαc A, ἀνατοιχήcαc Wackernagel ἀναcτήcαc Bergk fr com II p 1183 ‖ 31 φθέγματα καὶ κρακτι-κόν Π

καὶ σκευὴ μὲν ἡ τῶν ὑποκριτῶν στολή — ἡ δ' αὐτὴ καὶ σω- 115
μάτιον ἐκαλεῖτο — σκευοποιὸς [BC δ' BC] ὁ προσωποποιός· καὶ ἔστιν εἰπεῖν
πρόσωπον προσωπεῖον προσωπίς, μορμολυκεῖον, [BC γοργόνειον BC]. καὶ
τὰ ὑποδήματα κόθορνοι μὲν [BC τὰ BC] τραγικὰ [[FS καὶ ἐμβάδες FS]], ἐμβάται
δὲ τὰ κωμικά. [καὶ] ἑσθῆτες μὲν τραγικαὶ ποικίλον — οὕτω 116
γὰρ ἐκαλεῖτο ὁ χιτών — τὰ δ' ἐπιβλήματα ξυστίς, βατραχίς, χλανίς,
χλαμὺς διάχρυσος, χρυσόπαστος, [[BC στατός BC]], φοινικίς, τιάρα, καλύπτρα,
μίτρα· [ἀγρηνόν — τὸ δ' ἦν πλέγμα ἐξ ἐρίων δικτυῶδες περὶ πᾶν]
[τὸ σῶμα, ὃ Τειρεσίας ἐπεβάλλετο ἢ τις ἄλλος μάντις — κόλπωμα,]
[ὃ ὑπὲρ τὰ ποικίλα ἐνεδύοντο οἱ Ἀτρεῖς καὶ [οἱ] Ἀγαμέμνονες καὶ]
[ὅσοι τοιοῦτοι], ἐφαπτίς, συστρεμμάτιόν [[FS τι FS]] πορφυροῦν ἢ φοινικοῦν,
ὃ περὶ τὴν χεῖρα εἶχον οἱ πολεμοῦντες ἢ [οἱ] θηρῶντες. ὁ δὲ κροκωτὸς
ἱμάτιον· Διόνυσος δ' αὐτῷ ἐχρῆτο [καὶ μασχαλιστῆρι ἀνθινῷ καὶ] 117
[θύρσῳ]. οἱ δ' ἐν δυστυχίαις ὄντες ἢ λευκὰ δυσπινῆ εἶχον, μάλιστα
οἱ φυγάδες, ἢ φαιὰ ἢ μέλανα ἢ μήλινα ἢ γλαύκινα· ῥάκια δὲ Φιλο-
κτήτου καὶ Τηλέφου ἡ στολή. καὶ νεβρίδες δὲ καὶ διφθέραι καὶ
μάχαιραι καὶ σκῆπτρα καὶ δόρατα [FS καὶ τόξα FS] καὶ φαρέτρα καὶ κηρύ-
κεια καὶ ῥόπαλα καὶ λεοντῆ καὶ παντευχία μέρη τραγικῆς ἀνδρείας
σκευῆς. γυναικείας δὲ συρτὸς [πορφυροῦς, παράπηχυ λευκὸν τῆς] 118
[βασιλευούσης· τῆς δ' ἐν συμφορᾷ ὁ μὲν συρτὸς μέλας, τὸ δὲ περί-]
[βλημα γλαύκινον ἢ μήλινον]. ἡ δὲ σατυρικὴ ἑσθὴς νεβρίς, αἰγῆ,
[ἣν καὶ ἰξαλῆν ἐκάλουν καὶ τραγῆν, καί που καὶ παρδαλῆ ὑφασμένη,]
καὶ τὸ θήραιον τὸ Διονυσιακόν, καὶ χλανὶς ἀνθινή, καὶ φοινικοῦν

---

1 ὑποκρ. ἡ σκευὴ δ' αὐτὴ BC ‖ 1—2 σωματεῖον ABC ‖ 7 φ. παρακαλύπτρα BC ‖ 9 ἐπεβάλετο A | τι ἄλλο μαντικόν lacuna οὗπερ A τινι ἄλλῳ μαντικῷ κόλπ. ΠC corr Bekker ‖ 10 ἐνεδέδυντο A ‖ 13 κέχρηται (-ο F) Π | ἀνθινῷ] ἐν οἴνῳ A ‖ 14 θυρεῷ A | δυστυχία A | δευσοποιὰ A ‖ 15 θράκια A ‖ 18 ἀνδρικῆς A ‖ 19 λευκότης β. Π ‖ 20—21 ἐπίβλημα γλαυκὸν A ‖ 21 αἰγικὴ A ‖ 22 παρδάλει ὑφασμένην A ‖ 23 θυρεὸν A | χλαμὺς AΠ ἀνθιμένη S

1—2 σωμάτιον] cf Π 235, Bachm L (Phot) ‖ 4 Ammon p 49 Valck ἐμβάδες . . . τὰ κωμικὰ ὑποδήματα· ἐμβάται δὲ τὰ τραγικά. Schol Dionys Thrac BA Π 746. 18 ‖ 5 ποικίλον] cf VII 47 τὸ π. Διονύσου χιτὼν βακχικός BA^{v} 289. 22 (Phot Et M 678. 50) ‖ 6 ξυστίς] cf VII 49, Harp (Κρατῖνος ἐν Ὥραις frg 268 Ko) BA^{v} 284. 14, Hes, Phot, Schol Plato Rp IV 420 E Suid Et M 612. 17 | βατραχίς] Schol Aristoph Eq 522, 1406 ‖ 8 Hes ἀγρηνόν . . . δικτυοειδές . . . δ περιτίθενται οἱ βακχεύοντες Διονύσῳ· Ἐρατοσθένης δ' αὐτὸ καλεῖ γρῆνυν ἢ γρῆνον. Et M 14. 3 ‖ 14 sqq δυσπινῆ — ῥάκια Φιλοκτήτου — Τηλέφου Aristoph Acharn 426, 424, 430 ‖ 19 παράπηχυ] cf § 120 et VII 53 ‖ 22 ἰξαλῆ] Hes Phot Lex rhet (p 244. 2 Schw) ap Eustath 450. 24 ‖ 23 θήραιον] cf VII 48, 77 Hes θήρεον, Phot cf Athen X 224 F ἱμάτια τῶν Θηραϊκῶν, Schol Aristoph Lys 150 τὰ θήραια ἀπὸ Θήρας νήσου

ἱμάτιον, καὶ χορταῖος, [χιτὼν] δασύς, ὃν οἱ Κειληνοὶ φοροῦσιν. κωμικὴ δὲ ἐσθὴς ἐξωμίς· ἔστι δὲ χιτὼν λευκὸς ἄσημος, κατὰ τὴν
119 ἀριστερὰν πλευρὰν ῥαφὴν οὐκ ἔχων, [ἄγναπτος]. γερόντων δὲ φόρημα ἱμάτιον, καμπύλη· φοινικὶς ἢ μελαμπόρφυρον [Ald ἱμάτιον] φόρημα νεωτέρων. πήρα βακτηρία διφθέρα ἐπὶ τῶν ἀγροίκων. καὶ πορφυρᾷ δ' ἐσθῆτι χρῶνται οἱ νεανίσκοι, οἱ δὲ παράσιτοι μελαίνῃ ἢ φαιᾷ, [πλὴν ἐν Κυβωνίῳ (Menandri frg 444 Ko) λευκῇ, ὅτε μέλλει γαμεῖν] [ὁ παράσιτος]. τῇ δὲ τῶν δούλων ἐξωμίδι καὶ ἱματίδιόν τι πρόσκειται λευκόν, [ὃ ἐγκόμβωμα [[Ald λέγεται]] ἢ †ἐπίρρημα†]. τῷ δὲ μαγείρῳ διπλῆ ἄγναπτος ἡ ἐσθής. ἡ δὲ γυναικῶν ἐσθὴς κωμικῶν, ἡ μὲν τῶν γραῶν μηλίνη ἢ ἀερίνη, πλὴν ἱερειῶν· ταύταις δὲ λευκή.
120 αἱ δὲ μαστροποὶ ἢ μητέρες ἑταιρῶν ταινίδιόν τι πορφυροῦν περὶ τῇ κεφαλῇ ἔχουσιν. ἡ δὲ τῶν νέων λευκὴ ἢ βυσσίνη, [ἐπικλήρων δὲ] [λευκὴ κροσσωτή]. πορνοβοσκοὶ δὲ χιτῶνι βαπτῷ καὶ ἀνθινῷ περιβολαίῳ ἥσθηνται, ῥάβδον εὐθεῖαν φέροντες· ἄρεσκος καλεῖται ἡ ῥάβδος. τοῖς δὲ παρασίτοις πρόσεστι καὶ στλεγγὶς καὶ λήκυθος, ὡς τοῖς ἀγροίκοις λαγωβόλον. [ἐνίαις δὲ γυναιξὶ καὶ παράπηχυ καὶ συμμετρία,] [ὅπερ ἐστὶ χιτὼν ποδήρης, ἁλουργὴς κύκλῳ.]
121 Ἐπεὶ δὲ καὶ τὸ θέατρον οὐ μικρὸν μέρος ἐστὶ τῶν μουσικῶν, αὐτὸ μὲν ἂν εἴποις θέατρον καὶ Διονυσιακὸν θέατρον καὶ Ληναϊκόν, καὶ τὸ πλῆθος θεατάς. [Ἀριστοφάνης (frg 472. 3 Ko) δὲ συν-] [θεάτριαν εἴρηκεν], ὥστ' [οὐ] θεατὴν [μόνον] εἴποις [Ald ἂν] [ἀλλὰ] καὶ θεάτριαν, κατὰ δὲ Πλάτωνα (Leg III 701 A) καὶ θεατροκρατίαν. τοὺς δ' ἀναβασμοὺς καὶ βάθρα καὶ ἕδρας καὶ ἑδώλια, καὶ ἑδωλιάζειν τὸ συγκαθίζειν. πρῶτον δὲ ξύλον ἡ προεδρία, μάλιστα μὲν δικαστηρίων,
122 ἐφ' ὧν καὶ τὸν πρῶτον καθίζοντα πρωτόβαθρον Φερεκράτης (? I frg 226 Ko) εἴρηκεν [ὁ κωμῳδοδιδάσκαλος·] ἴσως δ' ἂν καὶ ἐπὶ θεάτρου κατὰ κατάχρησιν λέγοις. τὸ μέντοι τὰ ἑδώλια ταῖς πτέρναις κατα-

3 ῥαφὴν om S | ἄγναμπος A semper ‖ 4 φοινικῆς Π φοινικὴ A | μέλαν τι· πορφυροῦν AΠ ‖ 6 ἐχρῶντο BC ‖ 7 ὅταν A ‖ 9 ἔκκομβωμα C | λέγεται Ed pr | ἢ ἐσπερημα Π ἐπίβλημα Ed pr ἐπίρραμμα coni Kuehnius ‖ 11—12 λευκοί. οἱ A ‖ 15 ἥσθηνται] κέχρηνται A ἐνδέδονται B | καὶ ῥ. — φέρουσιν ΠBC | ῥαῦδος Π ‖ 16 προσέσται ΠBC ‖ 20 ληνιακόν A ‖ 22 εἴποι τις ΠBC ‖ 23 θεατοκρατίαν BC ‖ 24 ἀναβαθμοὺς AB v Phrynich 324 Lob Moeris 192. 30 B, Thomas | ἕδρα BC ‖ 25 μάλ. δὲ] μαλ. μὲν ΠBC | δικαστηρίων Kaibel cl VIII 133, δικαστῶν cdd ‖ 26 πρωτόβαθμον Π | Φερεκράτης Π Ἐπικράτης (Π frg 12 Ko) ABC ‖ 28 χρῆσιν AΠBC corr Bekker | λέγοιτο ΠBC

1 χορταῖος] cf VII 60 Hes Ael Dionys L (p 218. 22 Schw) ap Eustath 1166. 55 ‖ 5 διφθέρα] Hes Schol Aristoph Nub 72 ‖ 15 ἄρεσκος] Hes ‖ 17 συμμετρία] Hes ‖ 24 ἑδωλιάζειν] Harp ἑδωλιάσαι: Λυκοῦργος (Et M Suid) ‖ 25 πρῶτον ξύλον] Aristoph Ach 25

κρούειν πτερνοκοπεῖν ἔλεγον· ἐποίουν δὲ τοῦτο, ὁπότε τινὰ ἐκβάλοιεν, [ἐφ' οὗ καὶ τὸ κλώζειν καὶ τὸ cυρίττειν]. ἐκαλεῖτο δέ τι καὶ βουλευτικὸν μέρος τοῦ θεάτρου καὶ ἐφηβικόν. ἔξεστι δὲ καὶ τὸ παραπέτασμα αὐλαίαν καλεῖν, [ᶜ'Υπερείδου εἰπόντος ἐν τῷ κατὰ Πα-ᴮᶜ] [ᴮτροκλέους (frg 139 Bl³)ᴮ]. 'οἱ δ' ἐννέα ἄρχοντες εἱστιῶντο ἐν τῇ cτοᾷ, περιφραξάμενοί τι μέρος αὐτῆς αὐλαίᾳ.'

μέρη δὲ θεάτρου πυλὶς καὶ ψαλὶς καὶ κατατομή, κερκίδες, 123
σκηνή, ὀρχήστρα, λογεῖον, προσκήνιον, παρασκήνια, ὑποσκήνια. καὶ σκηνὴ μὲν ὑποκριτῶν ἴδιον, ἡ δ' ὀρχήστρα τοῦ χοροῦ, ἐν ᾗ καὶ [ἡ] θυμέλη, εἴτε βῆμά τι οὖca εἴτε βωμός. ἐπὶ δὲ τῆς σκηνῆς καὶ ἀγυιεὺς ἔκειτο βωμὸς [ᴮὁᴮ] πρὸ τῶν θυρῶν, καὶ τράπεζα πέμματα ἔχουca, ἣ θεωρὶς ὠνομάζετο ἢ θυωρίς. [ἐλεὸς δ' ἦν τράπεζα ἀρχαία· ἐφ' ἣν] [πρὸ Θέcπιδος [ᴮεἷcᴮ] τις ἀναβὰς τοῖς χορευταῖς ἀπεκρίνατο]. τὸ δ' 124

---

4 αὐλίαν Π | καλεῖν om F ‖ 6 ἐπιφραξάμενοι A | ἐν τῇ αὐλαία A αὐλίας Π αὐλαίας C ‖ 7 μέρος ΠBC | καὶ πυλὶς ΠBC | καὶ ψαλὶς] κεφαλὶς A | κατατομὴ] κατὰ τὸ μῆκος S καταπομήκος F ‖ 8 ὑποσκήνια AB ὑποσκηνεῖν S η super ειν script, ὑποσκηνῇ F ὑποσκηνήν C ‖ 10 ἀγνιεὺς A ἀγιεὺς F ἀνιδύς S ‖ 12 ἔλεον Π καὶ ἔλαιον C | ἀρχαία lacuna 10 fere litter capax ἐφ' ἣν C ‖ 13 εἴ τις C

---

2 κλώζειν] Harp s ἐκλώζετε: Δημοcθένης κατὰ Μειδίου 226 (Et M Suid) Hes Phot κλώζειν. Eustath p 1504. 29 ‖ 3 βουλευτικὸν] Aristoph Av 795 | ἐφηβικόν] Schol Aristoph l l (Suid βουλευτικός) Hes s βουλευτικόν ‖ 4 αὐλαία] BA^{II} 83. 7, Bachm L in BA 463. 15 (Suid), cf Cyrill Vallic E 11 αὐλαία· τὰ τῆς σκηνῆς παραπετάσματα· κέχρηται δὲ αὐτὸ 'Υπερίδης, unde Hes, Schol Gregor Naz or 42 c 7 (Herm XXVII 621) αὐλαῖαι δὲ τὰ παραπετάσματα λέγονται τῆς σκηνῆς ‖ 7 ψαλίς] Hes | κατατομή] Harp: 'Υπερείδης, Φιλόχορος (Suid) BA^{V} 270. 21 (Phot κατατομήν) | κερκίδες] cf IX 44 (Αλεξις) ‖ 8 λογεῖον] Inscriptio saec III a Chr Deli reperta Bull corr Hell XIV 401, Hes λόγιον . . . ὁ τῆς σκηνῆς τόπος, ἐφ' οὗ [οἱ] ὑποκριταὶ λέγουσι Et M 569. 25 Phrynich p 163 Lob Vitruv V 7. 3 ‖ 8 προσκήνιον] Inscriptio Oropi reperta Dörpfeld Reisch Theater p 102 | παρασκήνια] Inscriptio anni 274 Deli reperta Bull corr Hell XVIII 162, aliter Harp: Δημοσθένης ἐν τῷ κατὰ Μειδίου (17), Θεόφραστος ἐν κ' Νόμων (Suid) BA^{V} 292. 12 (Phot Lex Patm p 14, Et M 653. 7) | ὑποσκήνια] cf § 124 l 1, § 128 l 13—14, § 130 l 11 Athen XIV 631 F ‖ 9 cf Vitruv V 7. 2 λογεῖον appellant ideo quod eo se (eos cdd) tragici et comici actores in scaena peragunt, reliqui autem artifices suas per orchestram praestant actiones, itaque ex eo scaenici et thymelici graece separatim nominantur. Phrynich p 163 Lob ‖ 10 θυμέλη] cf quae ad l 12 ἐλεός adnotavi, Suid s σκηνή Phrynich p 163 Lob | ἀγυιεύς] Harp: Κρατῖνος καὶ Μένανδρος, Cοφοκλῆς ἐν τῷ Λαοκόωντι (Suid Zonaras Bachm L in B A 332. 3) ‖ 12 ἐλεός] e Comici cuiusdam versu fluxisse Hiller suspicatus est Mus Rhen 39 p 328 ‖ 13 cf Et M 458. 30 (Orion Theb 72 Cyrill) θυμέλη (cf l 10) τράπεζα, ἐφ' ἧς ἑcτῶτες ἐν τοῖς ἀγροῖς ᾖδον μήπω τάξιν λαβούcης τῆς τραγῳδίας

ὑποσκήνιον κίοσι καὶ ἀγαλματίοις ἐκεκόσμητο πρὸς τὸ θέατρον τετραμμένοις, ὑπὸ τὸ λογεῖον κείμενον. τριῶν δὲ τῶν κατὰ τὴν σκηνὴν θυρῶν ἡ μέση μὲν βασίλειον ἢ σπήλαιον ἢ οἶκος ἔνδοξος ἢ πᾶν τοῦ πρωταγωνιστοῦντος [FS τοῦ δράματος, ἡ δὲ δεξιὰ τοῦ δευτεραγωνι-FS] [FS στοῦντος FS] καταγώγιον· ἡ δ' ἀριστερὰ τὸ εὐτελέστατον ἔχει πρόσωπον
125 ἢ ἱερὸν ἐξηρημωμένον, ἢ ἄοικός ἐστιν. ἐν δὲ τραγῳδίᾳ [FS ἡ FS] μὲν δεξιὰ θύρα ξενών ἐστιν, εἰρκτὴ δ' ἡ λαιά. τὸ δὲ κλισίον ἐν κωμῳδίᾳ παράκειται παρὰ τὴν οἰκίαν, παραπετάσματι δηλούμενον. καὶ ἔστι μὲν σταθμὸς ὑποζυγίων, καὶ αἱ θύραι αὐτοῦ μείζους δοκοῦσι, καλούμεναι κλισιάδες, [πρὸς τὸ καὶ τὰς ἁμάξας εἰσελαύνειν καὶ τὰ] [σκευοφόρα. ἐν δ' Ἀντιφάνους Ἀκεστρίᾳ (II frg 21 Ko) καὶ ἐργα-] [στήριον γέγονεν· [[φησὶ γοῦν]BC]

[C[†εἰ γὰρ ἔστιν ἐργαστήριον οἰκίας†]C] τὸ κλίσιον]
[Cπρότερόν ποτ' ἦν τοῖς ἐξ ἀγροῦ βουσὶ σταθμόσBC]
[Cκαὶ τοῖς ὄνοις, πεποίηκεν ἐργαστήριον.BC]

126 παρ' ἑκάτερα δὲ τῶν δύο θυρῶν τῶν περὶ τὴν μέσην ἄλλαι δύο εἶεν ἄν· μηχαναὶ [BCδ'BC] ἑκατέρωθεν, πρὸς αἷς αἱ περίακτοι συμπεπήγασιν, ἡ μὲν δεξιὰ τὰ ἔξω πόλεως δηλοῦσα, ἡ δ' ἑτέρα [FS τὰ FS] ἐκ πόλεως, μάλιστα τὰ ἐκ λιμένος· καὶ θεούς τε θαλαττίους ἐπάγει, καὶ πάνθ'

---

1 κεκόσμητο A κεκοσμημένον Π ‖ 2 λογικόν Π ‖ 3—4 πᾶν τοῦ πρωταγωνιστοῦ A πᾶν τὸ πρωταγωνιστοῦν BC παντὸς ἀς(?)τροαγωνιστοῦντος F παντων πρωταγωνιστούντων S ‖ 5 τὸ καταγ. A ‖ 6 τραγῳδίᾳ] τριτωδίω (α F) Π ‖ 7 κλήσιον Π semper ‖ 11 ἀντιφωνι (sic) A ‖ 12 post γέγονεν Π add τὸ καλούμενον κλησίον Π ‖ 13 Bekker coni: εἰ γάρ τι ἐργαστήριον τῆς οἰκίας; — [οὐκ ἦν μὰ τὸν Δι', ἀλλ' ὁρᾷς;] — τὸ κλ. Wilam deleto τὸ κλισίον scr: ὃ γὰρ ἐστ. ἐργ. τῆς οἰκ. — πεπ. δ' ἐργαστ. ‖ 14 ante πρότερον A add ὃ | πρότερον] πρίν Salmasius | ποτ' eicit Bekker ‖ 17 μηχαναὶ Π μία ABC | πρὸς ἃς ABC ‖ 18 ἑτέρα] ἀριστερὰ ΠB | ἐκ π. δηλοῦσα Π ‖ 19 ἄγειν A ἄγει Π

---

3 βασίλειον et 7 ξενών] cf Vitruv V 6. 8 mediae valvae ornatus habeant aulae regiae, dextra ac sinistra hospitalia ‖ 7—8 κλισίον παραπετάσματι δηλούμενον] cf anaglypha comica musei Neapolitani Dörpfeld-Reisch Dionysostheater p 327 fig 21 = Baumeister Denkmäler II p 827 fig 911? ‖ 7 sqq κλισίον] L rhet (p 183. 6 Schw) ap Eustath 1957. 58 κλισίον· θυρεών, ἐν ᾧ καὶ ζεύγη ἵσταται· καὶ κλεισίαι· αὔλειοι πυλῶνες, πλατεῖαι θύραι, δι' ὧν καὶ ζεύγη εἰσέρχονται . . . Hes Cf Bachm L (Phot^{II} Suid) κλισιάδες· θύραι δίπτυχοι ἢ σκηναί· καὶ κλισία ἡ σκηνή ‖ 10 κλισιάδες] B A^{V} 272. 13, Phot^{I} Hes Et M 520. 16, Et Gud 328. 28 Moer 201. 17 ‖ 17 sqq cf Vitruv V 6. 8 secundum autem (hospitalia) spatia ad ornatus comparata, quae loca Graeci περιάκτους dicunt ab eo quod machinae sunt in his locis versatiles trigonae, habentes singulae tres species ornationis, quae, cum aut fabularum mutationes sunt futurae seu deorum adventus cum tonitribus repentinis, versentur mutentque speciem ornationis in fronte

ὅσα ἐπαχθέστερα ὄντα ἡ μηχανὴ φέρειν ἀδυνατεῖ. εἰ δ' ἐπιστραφεῖεν
αἱ περίακτοι, ἡ δεξιὰ μὲν ἀμείβει τόπον, ἀμφότεραι δὲ χώραν ὑπαλ-
λάττουσιν. τῶν μέντοι παρόδων ἡ μὲν δεξιὰ ἀγρόθεν ἢ ἐκ λι- 127
μένος ἢ ἐκ πόλεως ἄγει· οἱ δ' ἀλλαχόθεν πεζοὶ ἀφικνούμενοι κατὰ
τὴν ἑτέραν εἰσίασιν. εἰσελθόντες δὲ κατὰ τὴν ὀρχήστραν ἐπὶ τὴν
σκηνὴν ἀναβαίνουσι διὰ κλιμάκων· τῆς δὲ κλίμακος οἱ βαθμοὶ κλι-
μακτῆρες καλοῦνται.

εἴη δ' ἂν τῶν ἐκ θεάτρου καὶ ἐκκύκλημα καὶ μηχανὴ καὶ
ἐξώστρα [καὶ σκοπὴ] καὶ τεῖχος καὶ πύργος [καὶ φρυκτώριον καὶ]
[διστεγία] καὶ κεραυνοσκοπεῖον καὶ βροντεῖον καὶ θεολογεῖον καὶ γέ-
ρανος καὶ αἰῶραι καὶ καταβλήματα καὶ ἡμικύκλιον καὶ στροφεῖον καὶ
χαρώνιοι κλίμακες [καὶ ἀναπιέσματα]. [καὶ] τὸ μὲν ἐκκύκλημα 128
ἐπὶ ξύλων [ὑψηλὸν] βάθρον, ᾧ ἐπίκειται θρόνος· δείκνυσι δὲ τὰ ὑπὸ
σκηνὴν ἐν ταῖς οἰκίαις ἀπόρρητα πραχθέντα. καὶ τὸ ῥῆμα τοῦ ἔργου
καλεῖται ἐκκυκλεῖν. ἐφ' οὗ δ' εἰσάγεται τὸ ἐκκύκλημα, [εἰσκύκλημα]
ὀνομάζεται. καὶ χρὴ τοῦτο νοεῖσθαι καθ' ἑκάστην θύραν, [ἵν' ἦ] καθ'
ἑκάστην οἰκίαν. ἡ μηχανὴ δὲ θεοὺς δείκνυσι καὶ ἥρως τοὺς ἐν
ἀέρι Βελλεροφόντας ἢ Περσέας, [καὶ κεῖται κατὰ τὴν ἀριστερὰν πάρ-]
[οδον, ὑπὲρ τὴν σκηνὴν τὸ ὕψος]. ὃ δ' ἐστὶν ἐν τραγῳδίᾳ μηχανή,
[τοῦτο] [καλοῦσιν] ἐν κωμῳδίᾳ κράδην. δῆλον δ' ὅτι συκῆς ἐστι 129

---

1 ἀπεχθέστερα Π | ἐπιστρέφοιεν BC ‖ 2 τόπον] τὸ πᾶν A ‖ 3 ἡ μετὰ δεξιά Wieseler ἡ μὴν ἀριστερὰ Rohde | ἀγρόθεν eliminat Anonymus de Schönborni libro Skene der Hellenen, litterar Centralbl 1859 ‖ 5 εἰς τὴν ὀρχ. BC ‖ 6—7 κλιματῆρες A ‖ 8 ἐγκύκλημα A ‖ 9 σκοποὶ Π ‖ 10 θεολογικὸν Π ‖ 11 ἡμικύκλιον καὶ στροφεῖον A (cf p 240. 21—23) ἐγκύκλιον καὶ στρόφιον Π ἡμικύκλιον καὶ ἡμιστρόφιον BC, sed C add ἐγκύκλιον στρόφιον ‖ 12 χαρώνιον Π et A, qui add καὶ | ἐγκύκλημα AF ‖ 12—14 πραχθ. et 15 ἐφ'—20 exscripsit Schol Clement Alex Protrept § 12 p 14.9 Dind ‖ 13 ξύλον Π | ὑψηλὸν] ὑψηλῶν Sch Cl ὑφελκτὸν Wieseler | θρόνος] φόνος B ‖ 13—14 ὑπὸ τῇ σκηνῇ . . πραχ. ἀπόρρ. Sch Cl ‖ 14 post ῥῆμα Elmsley add ἀπὸ ‖ 15 ἐγκυκλεῖν ABC | ὑφ' Sch Cl | ἐγκύκλημα hic cdd omnes et Sch Cl, quamvis l 8 BCΠ et 12 BCS ἐκκύκλημα ‖ 16 νοεῖν Sch Cl ἵν' ᾖ A Sch Cl οἱονεὶ B καὶ S om F ‖ 17 ἥρωας Π Sch Cl ‖ 20 ἐν δὲ κωμ. καλεῖται κρ. A τὴν κράδην Π C Sch Cl, ἡ κράδη B | δηλονότι A

6—7 κλιμακτῆρες] v VII 112, X 171: ἐν Ἀριστοφάνους Δράμασιν ἢ Κενταύροις, Phot ‖ 12 ἐκκύκλημα] Eustath 976. 15, Schol Aristoph Acharn 407 (Suid) ‖ 15 ἐκκυκλεῖν] Aristoph Ach 408 sq ‖ 17 μηχανή] Plato Cratyl 425 D, Clitoph 407 B, B A^{v} 208. 9 et Suid s ἀπὸ μηχανῆς Schol Lucian Philops c 29 et Hermotim c 86 Cf infra § 131 αἰώρας ‖ 20 κράδη Zenob paroem III 156, in Milleri Mél p 375 = Ps Plutarch II 16 p 338 κράδης ραγείσης· κράδη νῦν οὐχ ὁ σύκινος κλάδος, ἀλλ' ἡ ἀγκυρίς, ἀφ' ἧς οἱ ὑποκριταὶ ἐν ταῖς τραγικαῖς σκηναῖς [μηχαναῖς v l Bodl 515 (Vat II 20)] ἐξαρτῶνται, θεοῦ μιμούμενοι ἐπιφάνειαν,

μίμησις· κράδην γὰρ τὴν συκῆν καλοῦσιν οἱ Ἀττικοί. τὴν [δ'] ἐξώστραν ταὐτὸ τῷ ἐκκυκλήματι νομίζουσιν. [[ἡ]] σκοπὴ δὲ] [πεποίηται κατασκόποις ἢ τοῖς ἄλλοις ὅσοι προσκοποῦσιν], καὶ τὸ τεῖχος καὶ ὁ πύργος ὡς ἀφ' ὕψους ἰδεῖν. [τὸ δὲ φρυκτώριον τῷ] [ὀνόματι δηλοῖ τὸ ἔργον. ἡ δὲ διστεγία ποτὲ μὲν ἐν οἴκῳ βα- 5
[σιλείῳ] διῆρες δωμάτιον, [οἷον ἀφ' οὗ ἐν Φοινίσσαις (ν 90 sqq) ἡ Ἀντι-]
[γόνη βλέπει τὸν στρατόν], ποτὲ δὲ καὶ κέραμος, ἀφ' οὗ βάλλουσι τῷ
130 κεράμῳ· [ἐν δὲ κωμῳδίᾳ ἀπὸ τῆς διστεγίας πορνοβοσκοί τι κατο-]
[πτεύουσιν [ἢ] γράδια [ἢ] γύναια καταβλέπει]. κεραυνοσκοπεῖον
δὲ καὶ βροντεῖον, τὸ μέν ἐστι περίακτος ὑψηλή· τὸ δὲ βροντεῖον, 10
ὑπὸ τῇ σκηνῇ ὄπισθεν ἀσκοὶ ψήφων ἔμπλεοι διωγκωμένοι φέρονται
κατὰ χαλκωμάτων. ἀπὸ δὲ τοῦ θεολογείου ὄντος ὑπὲρ τὴν
σκηνὴν ἐν ὕψει ἐπιφαίνονται θεοί, [ὡς ὁ Ζεὺς καὶ οἱ περὶ αὐτὸν]
[ἐμ Ψυχοστασίᾳ]. ἡ δὲ γέρανος μηχάνημά ἐστιν ἐκ μετεώρου κατα-
φερόμενον ἐφ' ἁρπαγῇ σώματος, ᾧ κέχρηται Ἠὼς ἁρπάζουσα τὸ 15
131 σῶμα [τὸ] Μέμνονος. αἰώρας δ' ἂν εἴποις τοὺς κάλως, οἳ κα-
τήρτηνται ἐξ ὕψους [[[ὡς]]] ἀνέχειν τοὺς ἐπὶ τοῦ ἀέρος φέρεσθαι δο-
κοῦντας ἥρως ἢ θεούς. τὰ καταβλήματα δ' ὑφάσματα ἢ πίνακες
ἦσαν ἔχοντες γραφὰς τῇ χρείᾳ τῶν δραμάτων προσφόρους· κατεβάλλετο
δ' ἐπὶ τὰς περιάκτους ὄρος δεικνύντα ἢ θάλατταν ἢ ποταμὸν ἢ ἄλλο 20
τι τοιοῦτον. τῷ δ' ἡμικυκλίῳ τὸ μὲν σχῆμα ὄνομα, ἡ δὲ θέσις
132 κατὰ τὴν ὀρχήστραν, ἡ δὲ χρεία δηλοῦν πόρρω τινὰ τῆς πόλεως
[τόπον] ἢ τοὺς ἐν θαλάττῃ νηχομένους, [ὥσπερ καὶ τὸ στροφεῖον,]
[ὃ τοὺς ἥρως ἔχει τοὺς εἰς τὸ θεῖον μεθεστηκότας, ἢ τοὺς ἐν πελάγει]

---

1 γὰρ] δὲ A ‖ 2 ταὐτὸν ABC | ἐγκ. ὀνομάζουσι Π ‖ 5 ἡ δὲ στεγία A ‖ 9 γραῖδια AΠ ‖ 11 ὑπὸ τὴν σκηνὴν C et Π qui add ἦν | διωκόμενοι ΠBC ‖ 12 ὑπὸ Π ‖ 13 ὑψει (ι S) φαίνονται Π ‖ 14 ἐμ AC ἐν ΠB | μηχάνημά τι ἐστ. Π ‖ 16 αἰώρας] cf p 239. 11 ἑώρας C θεωράς (-οῦς F) Π | κάλως] κύκλους A καλοὺς Π ‖ 17 ὡς add Wilam, τοῦ ἀνέχειν vel ἀνέχοντες Rohde ‖ 17—18 φέρονται δοκοῦντες Π ‖ 20 ἐπὶ] κατὰ Π | δεικνὺς A ‖ 22 δηλοῦσα BC ‖ 23 στρόφιον C

ζωστῆρσι καὶ ταινίαις κατειλημμένοι . . . Hes κράδη· συκῆ, κλάδος καὶ ἀγκυρίς, ἐξ ἧς ἀνήπτοντο οἱ ἐν ταῖς τραγικαῖς μηχαναῖς ἐπιφαινόμενοι. Schol Aristoph Pac 627 κράδη· εἶδος συκῆς, ἔστι δὲ καὶ μηχανή cf Philolog 48. 698

2 ἐξώστρα] Inscriptio anni 274 a Chr Deli reperta Bull de corr Hell XVIII 163 Hes ἐξ. ἐπὶ τῆς σκηνῆς τὸ ἐκκύκλωμα ‖ 9 cf Aristoph Eccl 961 cf 698 ‖ 10 βροντεῖον] Schol Aristoph Nub 292 et 294 (Suid) ‖ 14 γέρανος] B A^{v} 232. 5 γ. καὶ ἐν τῇ σκηνῇ ἅρπαξ κατεσκευασμένος ὑπὸ τοῦ μηχανοποιοῦ, ἐξ οὗ ὁ ἐσκευασμένος ὑποκριτικῶς τραγῳδεῖ (Et M 228. 2) ‖ 16 αἰώρας] cf § 128 μηχανή, Schol Aristoph Ach 80 (Suid s ἐώρημα)

[ἢ πολέμῳ τελευτῶντας]. αἱ δὲ χαρώνιοι κλίμακες, κατὰ τὰς [ἐκ] τῶν ἐδωλίων καθόδους κείμεναι, τὰ εἴδωλα ἀπ᾽ αὐτῶν ἀναπέμπουσιν. [τὰ δ᾽ ἀναπιέσματα, τὸ μέν ἐστιν ἐν τῇ σκηνῇ ὡς] [ποταμὸν ἀνέλκειν ἢ τοιοῦτόν τι πρόσωπον], τὸ δὲ περὶ τοὺς ἀναβασμούς, ἀφ᾽ ὧν ἀνέβαινον Ἐρινύες.

ἀλλὰ μὴν καὶ πρόσωπα τὰ μὲν τραγικὰ εἴη ἂν τάδε, ξυρίας 133
ἀνήρ, λευκός, σπαρτοπόλιος, [μέλας] ἀνήρ, ξανθὸς ἀνήρ, ξανθότερος [ἀνήρ]. οὗτοι μὲν γέροντες, ὁ μὲν ξυρίας πρεσβύτατος τῶν γερόντων, λευκὸς τὴν κόμην· προσκείμεναι τῷ ὄγκῳ αἱ τρίχες. ὄγκος δέ ἐστι τὸ ὑπὲρ τὸ πρόσωπον ἀνέχον εἰς ὕψος [λαβδοειδὲς τῷ σχή-] [ματι]. τὸ δὲ γένειον ἐν χρῷ κουρίας ἐστὶν ὁ ξυρίας, ἐπιμήκης ὢν τὰς παρειάς. ὁ δὲ λευκὸς ἀνὴρ πᾶς μέν ἐστι πολιός, βοστρύχους δ᾽ 134
ἔχει περὶ τῇ κεφαλῇ καὶ γένειον πεπηγὸς καὶ προπετεῖς ὀφρῦς καὶ παράλευκον τὸ χρῶμα· ὁ δ᾽ ὄγκος βραχύς. ὅ γε μὴν σπαρτοπόλιος δηλοῖ μὲν τὴν τῶν πολιῶν φύσιν, μέλας δ᾽ ἐστὶ καὶ ὕπωχρος. ὁ δὲ μέλας ἀνήρ, ἀπὸ μὲν τῆς χροιᾶς τοὔνομα, οὗλος δὲ καὶ τὰ γένεια καὶ τὴν κόμην, τραχὺς δὲ τὸ πρόσωπον, [καὶ μέγας ὁ ὄγκος]. ὁ δὲ 135
[BC]τοῖς χείλεσιν οἷον ἁλὸς ἄχνη[BC]. λειχὴν ἄγριος, τραχύς, [[δυσίατος,]] [ἀνώμαλος. λέπρα λειχῆνες τραχεῖς], [πολλοί], ἑλκώδεις, λεπιδωτοί, [ὑπόπυρροι ἢ ὑπέρυθροι ἢ ὑπόλευκοι, δυσίατοι]· φθείρουσι δὲ καὶ 194
τοὺς ὄνυχας. ψώρα ἑλκώδης, [ὑπέρυθρος], ἐξανθήσεις ἔχουσα ἐν αὐτῇ.
[ψυδράκια] πυώδη [ἐξανθήματα, αὐτόματα, ἑλκώδη] ἐν ἐπιφανείᾳ.
[ὑπέρυθρον [ῥεῦμα, δυσώδης διάθεσις, ὑγρασίαν ἀφιεῖσα]. ἕφηλις]
[πάθος ἐν προσώπῳ, ὑποπέλιδνος] ἐπιδρομή, ἀφανίζουσα τὸ κατὰ
φύσιν χρῶμα. [ἴονθοι ἀνθήματα ψυδρακίοις ἐοικότα] περὶ τῷ προσώπῳ,
σημεῖον ἀκμῆς, [ψυδράκια μικρά, φλύκταιναι] [ὑπόπυοι]. φακὸς ὅμοιόν
τι τῷ ὀσπρίῳ, [BC]συγγενὲς ἢ ἐπιγενές[BC]. θύμος ὑπέρυθρος ἔκφυσις,
τραχεῖα, ἔναιμος, [δυσαφαίρετος], μάλιστα περὶ αἰδοῖα καὶ δακτύλιον
καὶ παραμήρια, ἔστι δ' ὅτε καὶ ἐν προσώπῳ. ἀκροχορδὼν ἀπὸ μὲν 195
τῆς ῥίζης λεπτὴ ἔκφυσις, περὶ δὲ τὸ ἄκρον παχυνομένη, μάλιστα ἐπὶ
παιδίων. [μυρμηκία ἔκφυσις στερεὰ καὶ τραχεῖα, τυλώδης, [ἔναιμος,]]
[[περὶ τὰ ἄκρα καὶ [τὰ] ἔσω τῆς χειρός]. ἦλος] συστροφὴ τυλώδης
περιφερὴς ὕπωχρος, ἡλοειδὴς ὅτι ἄνωθεν μὲν εὐρύνεται, περὶ δὲ τὴν
σάρκα ἀποστενοῦται, μάλιστα περὶ τὰ ἴχνη. χειρώνιον ἕλκος χρόνιον, 196
δυσούλωτον, χείλη σκληρά, [τυλώδης σάρξ, ὑποπέλιδνος, ἐν κνήμαις]
[καὶ ποσίν]. λεπὶς τοῖς ἐν πεδίῳ ἕλκεσιν ὁμοία τῇ θαλαττίᾳ ἐπι-
πήγνυται, ἣν δεῖ τῆς θεραπείας προαφελεῖν. [κιρσὸς ἢ κριξὸς οἴδημα]
[φλεβῶν περὶ κνήμας, ποδὸς [N]πεδίον[N]], ἐπιγάστριον, μηρούς, ὄσχεον·]
[καλεῖται δὲ καὶ ἰξία ἀπὸ τῶν ἐν ταῖς πίτυσι τῆς πίττης ὁμοίων]
[συστροφῶν, [ἀφ' ὧν] καὶ [N]ὁ[N] ἰξός.] ἀγκύλη σκληρότης τυλώδης ἐν
ἄρθροις, μάλιστα ἐν δακτύλοις χειρῶν κατὰ τὸ ἐντός· ἐπικάμπτει δὲ
τοὺς δακτύλους, [γίνεται δ' ἔστιν ὅτε καὶ περὶ ἀγκῶνας καὶ γόνατα.] 197
ἐπινυκτὶς φλύκταινα ὑποπέλιδνος ὕφυγρος ἔναιμος, περὶ κνήμας καὶ

---

1 λιχὴν A λιχηνάγριος Π ‖ 6 ὑπέρυθρα ΠC | νεῦμα AB | δυσώδης] νοσῶδες Π ‖ 7 ὑποπέλιδνον BC ‖ 9 ψαδακίας S ψυδρακίας F | ὑπόπυιαι C, ὑπώπια B | φακῶ ὅμοιαι τῷ BC ‖ 10 post ἐπιγενές A add ὑπόπυον cf l 9 ‖ 11 οὐ δυσαφαίρετος A | τὰ αἰδοῖα A ‖ 12 ἐν] ἐπὶ BC ‖ 13 λευκὴ AΠBC corr Kuehnius ‖ 13—14 ἐπὶ παίδων C ἐπίπεδον B ‖ 19 ποσίν. καὶ πεδινολεπίστοις ἐν παιδίῳ ἕλκεσιν A ποσίν. καὶ παιδίῳ λεπὶς τοῖς (om F) ἀνέλκεσιν Π | τοῖς θαλαττίοις A ‖ 20 προαφαιρεῖν A | κριὸς C ‖ 21 πόδας C | παιδίον A ‖ 23 ἀφ' οὗ Π ‖ 24 τὰ A ‖ 25 ἔστιν] τισιν C ‖ 26 ὕφυδρος Π

---

1 λειχήν] Hes ‖ 6 ἔφηλις] Hes ‖ 8 ἴονθοι] Hes ἰονθάδος αἰγός ‖ 12 ἀκροχορδών] = Celsus V 28. 14, Bachm L in BA 373. 16 Hes, Paul Aeginet IV 15 ‖ 14 μυρμηκία] = Celsus V 28. 14 ‖ 15 ἦλος] Hes ‖ 17 χειρώνιον] = Celsus V 28. 5 ‖ 20 sqq Hes s κιρσός et κριςός et ἰξία, Phot ἰξία ‖ 23 ἀγκύλη] cf Celsum V 18. 28 ‖ 26 ἐπινυκτίς] = Celsus V 28. 15, cf Hes

πόδας ἐν νυκτὶ γινομένη. γαγγλίον ἀπόστημα ἄπονον, ὑπὸ λευκῷ καὶ νευρώδει χιτῶνι· ἔνεστι δ' αὐτῷ ὑγρὸν ἀθερῶδες ἢ τρίχια ἢ ἑλμίνθια, γίνεται δὲ περὶ ἄρθρα καὶ κεφαλήν. μελικηρὶς ἀπόστημα
198 ἔχον μελιτῶδες ὑγρόν, ἐν ἀγκῶσι καὶ γόναci, πολλάκις δὲ καὶ ἐν ἄλλοις ἄρθροις καὶ [περὶ] στόματι. [χάλαζα cυστροφαὶ] βουβωνοειδεῖς [ὑπὸ τῷ δέρματι], κατὰ κύαμον Αἰγύπτιον, ἐπαλγεῖς προcαψαμένῳ. καρκίνωμα cκλήρωμα μετὰ φλεγμονῆς ἐπαλγές, ἔcτιν ὅτε ἑλκούμενον, ὑπέρυθρον ἢ πελιδνόν· cυμπεφύκαci δ' αὐτῷ ὡc τὸ πολὺ φλέβες ἢ τρίχες· αἱμορραγοῦν, ἀθεράπευτον. κρυπτὸν καρκίνωμα, ὅταν μὴ ᾖ ὑπερφανές, τὰ δ' ἄλλα ὅμοιον. χηλαὶ ἢ φύcιγγες ῥαγάδες πτερνῶν
199 ποδῶν αἰδοίου. παρουλὶc οὐλων ἀπόcταcις, ἐπουλὶc ὑπὸ τὸν cωφρονιcτῆρα ἐπίφυcιc. ὑπογλωττὶc ἀπόcταcις [ὑπὸ γλώττῃ. αὖον] [ἀπόcταcις] περὶ τὴν ἔκφυcιν τοῦ cτομάχου, κατὰ τὸ ἄνω τῆc φάρυγγος [μέροc], κνηcμώδηc πρὶν [ῥαγῆναι]. cυνάγχη φλεγμονὴ περὶ ἐπιγλωccίδα καὶ φάρυγγα cύντονος ὀδυνηρά· κυνάγχη πνιγμὸc ὑπὸ νύκτα γινόμενος ἐπενεχθέντος ἐπὶ βρόγχον ὑγροῦ παχέος καὶ γλίcχρου, μάλιcτα ἐπὶ παιδίων. ἀγχόνη πυώδηc ἀπόcταcιc μεταξὺ ἐπιγλωττίδοc [καὶ] ῥίζηc γλώττηc. παρίcθμια φλεγμονὴ περὶ τὰ μῆλα καὶ ἕλκωcιc καὶ ἀπόcταcιc. ἄφθα ἕλκωcιc ἐπιπολῆc λευκαίνουca γλῶτταν ἢ παρίcθμια ἢ κίονα ἢ φάρυγγα, ἔcθ' ὅτε μέντοι καὶ μελαίνουca· πλεονάζει δ' ἐπὶ παιδίων. cταφυλὴ περὶ τὸν κίονα μηκυνομένη καὶ ὠχριῶca, ῥαγὶ παραπλήcιοc. cῦκον cὰρξ ἑλκώcει ἐπανθοῦca,
201 ἄνωθεν πλατυνομένη, ἐπίπονος, βουβῶνας ἐγείρουca. τηνεcμὸc βαρύτηc καὶ φλεγμονὴ ἀνοιδαίνοντοc τοῦ δακτυλίου, μυξώδη ὑγρὰ ἢ αἱματώδη καταφέρουca· ποιεῖ δὲ καὶ δυcουρίαν. κηρίον περὶ τῷ cτήθει ἢ τοῖc νώτοιc ἀπόcτημα φλεγμαῖνον, πολύcτομον, ἀφιὲν μελιτῶδεc ὑγρόν, ἔχον ἐν τῷ βάθει cάρκα ὕπωχρον διεφθαρμένην. χοιράδεc περὶ cιαγόcι καὶ τραχήλῳ καὶ μαcχάλαιc καὶ βουβῶcιν, [ἀδέcιν]

---

1 γαγγαίον A ‖ 2 ἀερῶδεc A ‖ 3 μελικρὶc A ‖ 6 ἐπαλγεῖc] ἀπαλμίc Π ‖ 7 cκίρωμα B ‖ 10—11 ῥαγάδεc cτερνοποδῶν Π ‖ 11 ὑπὸ] ἐπὶ ΠBC ‖ 12 ἐπιγλωττὶc BC ‖ 13 ἢ ἀποcτ. Π ἡ ἀπ. C ‖ 14 ῥαγῆ ΠC | cυναχῆ Π ‖ 16 βρόχον AΠ ‖ 19 ante ἐπιπολῆc II add καὶ ἀπόcταcιc ‖ 20 γλῶccα Π ‖ 21 cταφυλῆc φλεγμονὴ περὶ Π ‖ 22 παραπληcίωc lacuna cὰρξ A | cυκῶν cαρξ Π cαρξὶν B | ἕλκωcιc ΠB ἑλκώceιc C ‖ 23 ἐπιπλατυνομένη Π ‖ 28 ἀδέναιc Π

---

1 γαγγλίον] Celsus VII 6 ‖ 5 χάλαζα] cf χαλάζια ap Celsum VII 7. 3 ‖ 11 παρουλίc] cf Cels VI 13 ‖ 14 cυνάγχη] cf Celsum IV 7 ‖ 15 κυνάγχη] Hes cf Celsum IV 7 ‖ 19 ἄφθα] Hes Erotian s ἀφθώδεα, Celsus VI 11 ‖ 21 cταφυλή] Hes cf Et M s γαργαρεών et κιονίc, Erotian s γαργαρεών ‖ 22 cf Celsum VI 3: cύκωcιc ‖ 25 κηρίον] cf Celsum V 28. 13 ‖ 27—28 χοιράδεc] Hes

[ἐοικυῖαι φλεγμοναί], εἰς πῦον τρεπόμεναι. [χίμετλα γίνεται μὲν] 202
[ὑπὸ κρύους ἐπὶ δακτύλοις καὶ ἴχνεσι ποδῶν καὶ χερσί, μάλιστα ἐπὶ]
[παιδίων, ἑλκώδεις φλεγμοναί. ἐρυσίπελας μώλωψ ἐρυθρὸς ἐπίπονος]
[[ἔμπυρος], ἔσθ' ὅτε καὶ φλυκταινώδης]. ἱδρῶα ἐξανθήματα θερινά.
βουβῶν περὶ βουβῶνας οἴδημα μετὰ φλεγμονῆς. αἱμορροΐς γίνεται
μὲν κατὰ τὴν ἕδραν [ἐντός], ἔστι δ' ὁμοία μόροις ὠμοῖς· πολλάκις
δὲ καὶ ὑπεροχῆς ἄνευ [[F γίνεται F]] ῥαγὰς αἱμορραγοῦσα. τυφλὴ αἱμορ-
ροΐς οἴδημα λεῖον ἐρυθρόν, ἐντὸς τῆς ἕδρας, οὕτω κληθὲν ἐπεὶ ἔσθ' 203
ὅτε οὐχ αἱμορροεῖ. κονδύλωμα περὶ τὴν στεφάνην τοῦ δακτυλίου
εὐίατον οἴδημα. συκαῖ περὶ τὴν ἕδραν κονδυλώματα μεγάλα, οὐκ
ἐπίπονα. ἐντεροκήλη ὀλίσθημα ἐντέρου εἰς τὸν ὄσχεον, εἰς ὄγκον
αἰρόμενον· ὑδροκήλη περὶ θατέρῳ τῶν διδύμων ὑδατώδης συλλογή,
μεταξὺ τοῦ δευτέρου καὶ τετάρτου ὑμένος· πωροκήλη πώρωμα περὶ
τὸν ὄσχεον ἐξ ἀποστήματος, σαρκοκήλη σκιρώδης καὶ παχεῖα ἐπ' ὀσχέῳ
διάθεσις. στεάτωμα πιμελῆς παραρροὴ ὑπὸ τῷ δέρματι. λοιμώδη 204
ἕλκη περὶ τὰ παρίσθμια καὶ [τὴν] σταφυλήν. ἐσχάρωσις νομὴ δύσχρους,
εἰς τὴν φάρυγγα καὶ τὴν ἀρτηρίαν καὶ τὸν στόμαχον καταφερομένη
μετὰ τοῦ ἀνοιδαίνειν τὸν τράχηλον. περιγραφὴ περί τι μέρος τοῦ
σώματος στενότης ἄπονος, [μέλαινα ὑπέρυθρος ἢ πελιδνή, ψιλὴ [ἢ]]
[τετριχωμένη. πῶλυψ σὰρξ ῥινὶ ἐπιφυομένη], μυξῶδες ὑγρὸν ἀφιεῖσα,
ἐπιφράττουσα τὴν ἀναπνοήν. ὄζαινα ἕλκωσις ἐν τῷ βάθει τῶν μυκτή-
ρων μέχρι τῶν καλουμένων ἡθμοειδῶν σαρκῶν, πυῶδες καὶ δυσῶδες
ὑγρὸν ἀφιεῖσα, τὴν αἴσθησιν ἐμποδίζουσα. δρακόντιον ἐκ τῶν περὶ 205
κνήμαις καὶ μηροῖς ἑλκῶν ἐκπῖπτόν τι νευρῶδες ἐφθαρμένον, σπανίως
μὲν τοῖς ἄλλοις ἐπιγινόμενον, Αἰθίοψι δ' ἐνοχλοῦν. [κέρατα ἐν τῷ]
[τόπῳ τῶν κεράτων περὶ τὸ μέτωπον πωρώδεις ἐκφύσεις περὶ τὸ]

---

2 ὑπὸ δακτύλω A | χερσί] πτέρνων S πτέρναις F ‖ 3 παιδίοις AC | ἐρυ-
θρόπελας A ‖ 4 ἱδρῶτος Π ἱδρῶτι A ‖ 5 αἱμορραγὶς A cf l 7—8 ‖ 7 ὑπερο-
χή(χθή F)σασα ῥάγας Π ‖ 7—8 αἱμορραὶς A cf l 5 ‖ 9 αἱμαρροικὸν σταφύλωμα
περὶ Π | στεφάνην] σταφύλην S (εμ super α script), στεαφάλην F ‖ 10 συκαῖ]
καὶ C | μέλανα B ‖ 12 ὑγροκήλη ΠC | ἐπὶ Π ‖ 13 πόρωμα A ‖ 14 σαρκ. κή(ύ F)λη.
σκληρώδης Π σκιρρώδης καὶ παχέα A ‖ 15 ἐπιμελῆς Π | παροὴ Π ‖ 16 ἐσχαρώδης
AΠBC corr Bekker ‖ 17 τὸν φάρ. AΠ ‖ 20 ἐφιεῖσα Π ‖ 21 ἐμφράττουσα BC ‖
22 ἰσθμοειδῶν AΠ ἰθμ. C | σαρκῶν] ὀστῶν ΠBC | πυρῶδες AΠBC corr
Kuehnius ‖ 24 κνημὰς κ. μηροὺς BC ‖ 25 γιγνόμενον Π | ὀχλοῦν A ‖ 26 πυ-
ροειδεῖς A

---

1 χίμετλα] Hipponax frg 19. 4 B⁴ Aristoph Vesp 1167 Aristot probl p 865
B 38, 866 A 5 Hes cf Cels V 28 ‖ 3 ἐρυσίπελας] Celsus V 26. 31 ‖ 11 sqq ἐν-
τεροκήλη — ὑδροκήλη — σαρκοκήλη] Celsus VII 18 ‖ 15 στεάτωμα] Celsus VII 6 ‖
20 Celsus VI 8. 2 polypus ‖ 21 ὄζαινα] Celsus VI 8. 1

[δέρμα]. ἔρπην ψυδράκια φλεγμαίνοντα καὶ νύττοντα, μάλιστα περὶ τραχήλῳ καὶ πλευραῖς νεμόμενα, ἔσθ' ὅτε δὲ καὶ περὶ χερσὶ καὶ πο-
206 δῶν ἴχνευιν. ἑρπηστικὸν ἕλκος ἐνοχλεῖ μὲν πρεσβυτῶν κνήμαις καὶ ποσίν, ἔσθ' ὅτε δὲ καὶ μηροῖς καὶ χερσίν· ἔστι δ' ὑποπέλιδνον καὶ νέμεται καὶ φλεγμαίνει. φαγέδαινα ἕλκωσις ἄχρι τῶν ὀστῶν διαδι- 5
δοῦσα ταχείᾳ νομῇ μετὰ φλεγμονῆς, ἰχῶρας δυσώδεις ἀφιεῖσα καὶ πρὸς θάνατον ῥέπουσα. θηρίωμα γίνεται μὲν [FS ἕλκος FS] περὶ ἀνδρῷα αἰδοῖα, ἔστι δ' ὅτε καὶ περὶ δακτύλους καὶ ἀλλαχοῦ, αἷμα πολὺ καὶ
207 μέλαν καὶ δυσῶδες ἀφιέν, μετὰ μελανίας τὴν σάρκα ἐσθίον. [σηπεδὼν] [ἕλκους νομὴ λευκοῦ ὑπώχρου δυσώδους· μάλιστα δ' ἐνοχλεῖ τῷ] 10
[στόματι, ὡς ἔσθ' ὅτε καὶ τοὺς ὀδόντας καὶ τὰ ὀστᾶ ἀφιστάναι, γί-]
[νεται δὲ καὶ ἐπὶ μηρῶν καὶ ἄλλων μερῶν]. γάγγραινα· οὕτω καλεῖται [BC τῶν μελῶν BC] τὸ νεκρούμενον σὺν ἕλκει ἢ χωρὶς ἕλκους, μετὰ φλεγμονῆς καὶ ἐρυθήματος ἀπολευκαινόμενον, εἶτα μελαινόμενον καὶ εἰς ἀναισθησίαν μεθιστάμενον. 15

208 μαῖα, [BC μαιεία BC], μαίευσις· [FS [BC καὶ BC] FS] μαιευτικὴ ἡ τέχνη καὶ ἡ γυνή, καὶ [BC τὸ ῥῆμα BC] μαιεύειν [BC καὶ μαιεύεσθαι BC], καὶ [BC τὸ ἐπίρρημα BC] [BC μαιευτικῶς BC]. ἀμβλίσκουσι [BC δὲ BC] τὸ ἀμβλίσκειν ποιοῦσι φησὶν ὁ Πλάτων (Theaet 149 D). ἀμβλωθρίδιον φάρμακον, τικτικὸν [φάρμακον.] 20
[FS ὠκυτόκιον FS], [ἀτόκιον]. λοχεύειν ἐκλοχεύειν· λοχεία ἡ τοῦ τεκεῖν ἐπιμέλεια. [BC διδοῦσαι φαρμάκια αἱ μαῖαι ταῖς δυστοκούσαις' FS ὁ FS] Πλά- [BC των (Theaet 149 D) λέγει· δυστοκεῖν δυστοκία, εὐτοκεῖν εὐτοκία BC] [FS [BC εὐτοκοῦσα FS BC], κυΐσκειν κυΐσκεσθαι, [BC ὠδίνειν, τίκτειν BC]. πρωτοτόκοι γυναῖκες, [BC πρωτότοκοι παῖδες BC], [FS καὶ FS] πρωτόγονοι ὁμοίως· ἄτοκοι δὲ καὶ ἄγονοι καὶ ἄλοχοι ὡς Πλάτων (Theaet 149 C, 150 C), καὶ στερί- 25
φαι [FS [FS καὶ στεῖραι FS] FS]. ὀμφαλητομία, ἐμβρυοτομία, καὶ τὸ ἐργαλεῖον ὀμφαλιστήρ.

---

1 ἕρπειν A ἕρπης BC | φλεγ.] φλυκταίνοντα A ‖ 3 ἴνεσιν Π | ἑρπυστικὸν AΠB | ἐνεργεῖ A ‖ 7 ἀνδρῷα] ἀνδρί(ει supscr)αν S ἀνδρεῖα FC ἀνδρῶν Ed pr ‖ 9 ἀνεσθίον BC ‖ 10 ἢ ὑπώχρου Π | δυσώδης ΠC | ἐνοχλεῖν Π ‖ 12 μερῶν] μηρῶν Π ‖ 15 μεθισταμένου AΠ, in A sequuntur nota non adpicta p 248. 8—23 ‖ 19 τιτηκτικὸν ΠC ‖ 20 λοχετεῖν A χολεύειν S χοχεύειν F ‖ 21 διδοῦσαι φαρμάκια Plato διδοῦσα φαρμακίαν Π διδοῦσι φάρμακα A ‖ 21—22 Πλ. δὲ λ. Π ‖ 25 ἄλουχοι A ‖ 26 ὀμφαλοτομία BC ‖ 27 ὀμφαλιστήριον Π

βίβλος ὀνομαστικὸς δ' F τέλος τοῦ δ' βιβλίου C

---

1 ἕρπην] BAV 256. 18 (Phot, Et M 377. 4) ἑρπήνη ‖ 5 φαγέδαινα] Celsus V 28. 3 Hes φάγαινα cf Bachm L (Phot Suid) ‖ 7 θηρίωμα] Celsus V 28. 3 ‖ 12 γάγγραινα] Celsus V 26. 31 Hes | 16 Phot L μαῖαν cf Lobeck Phrynich p 651, Eustath 971. 37 ‖ 24 sq cf III 15 ‖ 25—26 στερίφαι, στεῖραι] Bachm L στερίφη, στέριφος, στερίφοις (Phot Suid)

E

[BOFS[[Ἰούλιος] Πολυδεύκης Κομμόδῳ Καίσαρι χαίρειν[FS]... ἐπεὶ δὲ καὶ[BC]
[BOκυνηγεσίων σοι προσήκει μέλειν, ὅτι τοὐπιτήδευμα ἡρωικόν τε καὶ[BC]
[BOβασιλικόν, καὶ πρὸς εὐσωματίαν ἅμα καὶ πρὸς εὐψυχίαν ἀσκεῖ, καὶ[BC]
[BOἔστιν εἰρηνικῆς τε καρτερίας ἅμα καὶ πολεμικῆς τόλμης μελέτημα,[BC]
[BOπρὸς ἀνδρείαν φέρον, ῥωμαλέον τ᾽ εἶναι γυμνάζει καὶ ποδώκη[BC]
[BOκαὶ ἱππικὸν καὶ ἀγχίνουν καὶ φιλεργόν, εἰ μέλλει καθαιρήσειν καὶ[BC]
[BOτὰ ἀνθιστάμενα ἀλκῇ καὶ τὰ ὑποφεύγοντα τάχει καὶ τὰ ἀποσπῶντα[BC]
[BOἀφ᾽ ἵππου καὶ τὰ συνετὰ σοφίᾳ καὶ τὰ λανθάνοντα ἐπινοίᾳ καὶ τὰ[BC]
[BOκρυπτόμενα χρόνῳ, καὶ νύκτωρ προαγρυπνῶν καὶ μεθ᾽ ἡμέραν ἐπι-[BC]
[BOπονῶν, ἀνάγκη τι καὶ περὶ θήρας ὑπειπεῖν.[BC] ...

Θήρα [[FSλέγοιτ᾽ ἂν καὶ[FS]] ἄγρα, καὶ κυνηγέσιον, θῆραί τε καὶ 9
ἄγραι, [BOκαὶ κυνηγέσια[BC], καὶ θηρευτὴς καὶ ἀγρευτὴς καὶ κυνηγέτης·
ὁ δὲ τούτῳ συμπράττων συγκυνηγέτης, [BOσύνθηρος, ὁμόθηρος[BC]. ἐρεῖς
δ᾽ ἐπὶ [τοῦ] κυνηγέτου ζητητὴς θηρίων, [BOπολέμιος θηρίων, ἐχθρός[BC]
ἀντίπαλος, φιλόθηρος, [BOἀφ᾽ οὗ καὶ τὸ πρᾶγμα[BC] φιλοθηρία, [BOφιλο-[BC]
[BOκυνηγέτης[BC], θηρευτικός [BOἀγρευτικός κυνηγετικός, θηρευτικῶς ἀγρευτι-[BC]
[BOκῶς κυνηγετικῶς. θηρᾶν θηρεύειν, κυνηγετεῖν[BC]. Ξενοφῶν (Cyn XI 2)
[Bδὲ καὶ θηρᾶσθαι ἀντὶ τοῦ θηρᾶν ἔφη[B], καὶ θηρῶνται ἀντὶ τοῦ θηρῶ-
σιν· ἡμεῖς δ᾽ ἐπὶ μὲν τῶν ἀνδρῶν τὸ θηρᾶν, ἐπὶ δὲ τῶν θηρίων 10
τὸ θηρᾶσθαι, ὥσπερ [BOἐπὶ μὲν τῶν ἀνδρῶν[BC] ἰχνεύειν καὶ ἀνιχνεύειν
καὶ ἰχνηλατεῖν, καὶ ἰχνευτὴς ἀνὴρ καὶ κύων, [BOὁμοίως δὲ ζητεῖν[BC]
[BO[ἀναζητεῖν], ἐξερευνᾶσθαι, ἀνευρίσκειν ἐξευρίσκειν [FSσυνεξευρίσκειν,][FSBC]
[BOταῖς κυσὶν[BC] ἐφεῖναι, τὰς κύνας ἐπαφεῖναι, [Bἐπισίξαι — οὕτω γὰρ[B]

In A sequitur liber VII sub titulo quinti, quintus septimum excipit hoc titulo Ἰουλίου Πολυδεύκους ὀνομαστικῶν βιβλίον ἕκτον | Πολυδεύκους ὀνομαστικὸν πέμπτον tum index S | βίβλος ε′ F | ἀρχὴ τοῦ ε′ βιβλίου tum index C | τάδε ἔνεστι ἐν τῷ πέμπτῳ βιβλίῳ Πολυδεύκους ὀνομαστικῶν B

1 Ἰούλιος Ed pr | Κομόδῳ Καίσ. Π. A ‖ 5 ῥωμαλεῖον S ῥωμαλαῖον F | γυμνάζειν Π | ποδώκυ S ποδωκύν F ποδώκην A ‖ 6 εἰ om F ‖ 7 ἀποφεύγοντα Π ‖ 8 post ἵππου lacunam indicavit Bekker, at ἀφ᾽ ἵππου = ἵππῳ (cf l 6 ἱππικόν); fortasse ἀποσοβοῦντα? | ὑπονοία A ‖ 9 χρόνῳ cf φιλεργόν l 6 ‖ 9—10 ἐπίπονον Π ‖ 10 εἰπεῖν S ‖ In A sequitur index ‖ 13 ἐρεῖς] ἔστι ΠA qui add εἰπεῖν l 14 post κυνηγέτου ‖ 15 φιλόθ. κ. ἀντίπαλος BC ‖ 21 ἰχνηλατεῖν] ῥινηλατεῖν C | post κύων BC add ἐπὶ τοῦ θηρῶντος ‖ 23 ἐπάσιξαι Π

---

15 φιλόθηρος] Plat Rp VII 535 D Xenoph An I 9. 5 ‖ 23 ἐπισίξαι] Schol Aristoph Vesp 704 Λυκόφρων καὶ οἱ περὶ Ἐρατοσθένη τὸ ἐπαφιέναι τὰς κύνας ἐπισίζειν Hes BA^{V} 252. 23 Et M 363. 54 ἐπίσιστον Moeris 196. 34 B Cf Nauck Aristoph Byz p 161, Schmidt Didym 45

[ἐκάλουν τὸ μετά τινος [ἀσήμου] φωνῆς ἐφεῖναι — [διώκειν, μετα-[BC]
11 [Pθεῖν[BC]], μετιέναι, [Pκυνοδρομεῖν, ἐφέπεσθαι κατὰ πόδας, ἐπιγίνεσθαι[BC]
[Pταῖς κυσίν[BC]], αἱρεῖν, [Pλαμβάνειν, τιτρώσκειν, ἀποκτιννύναι, ζωγρεῖν,[BC]
[Pζώντων κρατεῖν[BC]], ἐπὶ δὲ τῶν θηρίων ἰχνεύεσθαι, διώκεσθαι, μετα-
θεῖσθαι [Pζητεῖσθαι ἀναζητεῖσθαι, εὑρίσκεσθαι [ἀνευρίσκεσθαι] ἐξευρίσκε-[BC] 5
[Pσθαι, ὑποφεύγειν περιφεύγειν, ὑπάγειν, ἀποδιδράσκειν[BC]], αἱρεῖσθαι,
[Pἁλίσκεσθαι, λαμβάνεσθαι, τιτρώσκεσθαι, ἀποκτίννυσθαι, ζωγρεῖσθαι.[BC]]
εἴποις δ' ἂν ἴχνος, ἰχνηλασία, σημεῖα ποδῶν, σύμβολα ἐντετυπωμένα
τῇ γῇ, ἰχνεύματα, ἰχνία, ἴχνευσις· [ʿκαὶ τῆς ἰχνεύσεως' φησὶν [ὁ]]
12 [Ξενοφῶν (Cyneg III 4)]. ἴχνη ὀρθά, εὐθέα συμπεπλεγμένα, [Pεὐ-[BC] 10
[Pναῖα δρομαῖα, ὀξέα[BC]]. [[FSFS]ὄζει[FS]] τὰ ἴχνη, ἀπόζει, πνεῖ ἀποπνεῖ, ἀπο-
φέρεται ἀπ' αὐτῶν τὸ πνεῦμα. [P"ανοσμα·[BC]] δύσοσμα δὲ καὶ εὔοσμα οὐ
τὰ δυσχερὲς ἢ ἡδὺ ἀποπνέοντα λέγουσιν, ἀλλὰ τὰ εὐαίσθητα [[FSA]ἢ[FS]]
[[FS]δυσαίσθητα[FS]] πνεύματα τῶν ἰχνῶν. θηρία θηράματα θηρεύματα,
θήρα, ἄγρα· οὐ [[FSγὰρ[FS]A]] μόνον τὸ ἔργον ἀλλὰ καὶ τὸ θηρώμενον 15
13 [[FSἄγραν καλοῦσιν[FS]]]. ἀφ' ὧν καὶ εὐαγρία πολυαγρία [Pθηραγρία,[BC]
εὐθηρία [Pπολυθηρία[BC]], [Fκαὶ[F]] εὔθηρος ἄγρα καὶ [Pπολύθηρος ἄγρα, καὶ[BC]
[Pτὰ ἐναντία δυσαγρία [ἀναγρία[F]] δυσθηρία ἀθηρία], καὶ δύσθηρος καὶ]
[ʿἄθηρος ἐπανῆλθεν']. ἔστι δ' εἰπεῖν καὶ ἔνθηρος γῆ καὶ ἔνθηρος
ἴδη, καὶ ὕλη [Pἔνθηροσ[BC]] καὶ πολύθηρος, καὶ ὁμοίως ὄρη ἔνθηρα [Pκαὶ[BC]] 20
[Pπολύθηρα[BC]] καὶ θηροτρόφα καὶ θηρονόμα καὶ θηρίοις εὔτροφα καὶ
[Pθηρίων κατάπλεα[BC]] καὶ πάλιν ἄθηρα καὶ ἄτροφα. ἡ δὲ θεὸς ἀγρο-
τέρα καὶ κυνηγέτις καὶ φιλόθηρος, καὶ ὀρεία ἀπὸ τῶν ὀρῶν, [καὶ]
[ʾΙδαία ἀπὸ τῆς ʾΙδης, καὶ Δίκτυννα ἀπὸ τῶν δικτύων], καὶ ἑκηβόλος
ἀπὸ τοῦ [[FSP[[P]ἑκὰc[BCFS]]]] τὰ θηρία βάλλειν. [καὶ πολλὰ ἄλλα [ὀνόματα[BC]] 25
[Pἀπὸ θήρας[BC]].

14 τόποι δὲ τῶν θηρίων ἐν οἷς ἀνευρίσκεται, ἴδαι, ὕλαι, νάπαι,
ὄρη, ἄντρα, θάμνοι, φωλεοί, ἕλη, [ὀργάδες], πεδία, [Pἄρουραι[BC]], ἰλεοὶ

---

1 ἀφεῖναι AΠ ‖ 2 ἔπεσθαι Π ‖ 4 ἀνιχνεύεσθαι B ‖ 7 ἀποκτέννυσθαι A ‖ 8 ἴχνος καὶ ἴχνη καὶ c. BC ἰχνηλατεῖα Π ‖ 9 γῇ τῶν ἰχνευμάτων BC | ἴχνευσιν A ‖ 11 ἀποζῇ A | ἀποπνεῖ om S ‖ 12 πνεῦμα· δύσοσμα· εὔοσμα· δύσοσμα δὲ καὶ εὔοσμα BC ‖ 13 δυσχερῆ ἢ BC ‖ 15 θηράτρα AΠ θηράγρα B ‖ 18 C repet εὔθηρος post ἀθηρία καὶ ‖ 21 ἔντροφα AΠC ‖ 22 ἄτροφα] ἔκτροφα A | θεὸς] ʾΑρτεμις BC ‖ 24 ἴδια Π ἰδέα C | δίκταινα A δικτῶνα C ‖ 25 ἑκὰc e Phavorino qui hunc locum exscripsit add Bekker ‖ 28 φωλαῖοι Π | ἰλαῖοι Π ἐλεοὶ C

---

19 ἄθηρος ἐπανῆλθεν] cf Bachm L in BA 351. 5 Αἰσχύλος ἐν Τοξότηςι. οὔ πώ τις ʾΑκταίων' ἄθηρος ἡμέρα ‖ 28 ἰλεοὶ] Hes Phot Suid Schol Theocrit XV 9

κυρίωϲ μὲν ἐπὶ τῶν ὄφεων καλούμενοι, ὥϲπερ καὶ χειαί, κατὰ δὲ κατάχρηϲιν καὶ ἐπὶ τῶν ἄλλων θηρίων. καὶ ἔϲτι θηρία τὰ μὲν ὄρεια ἐπὶ τὸ πλεῖϲτον ὡϲ ⌊οἱ⌋ λέοντεϲ, τὰ δ᾽ ἕλεια ὡϲ ⌊οἱ⌋ ϲύεϲ, τὰ δὲ ταῖϲ ἴδαιϲ τε καὶ ὕλαιϲ χαίροντα ὡϲ αἱ παρδάλειϲ, ⌊ᴮᴼὅθεν καὶ Ὅμηροϲᴮᴼ⌋ ⌊ᴮᴼ(Φ 573) εἴρηκενᴮᴼ⌋

⌊ᴮᴼἠύτε πάρδαλιϲ εἶϲι βαθείηϲ ἐκ ξυλόχοιο,ᴮᴼ⌋

⌊τὰ δὲ ταῖϲ ὀργάϲιν ὡϲ ἔλαφοιᴮ⌋, τὰ δὲ τοῖϲ θάμνοιϲ ὡϲ λαγωοί. ⌊φωλεύουϲι δ᾽ αἱ ἄρκτοι, καὶ ἢν ἔξω νέμωνται, περὶ τὰ ἔγκαρπα τῶνᴮ⌋ ⌊δένδρων ἁλίϲκονται.ᴮ⌋

καλεῖται δὲ τὰ μὲν τῶν λεόντων ἔ κ γ ο ν α ϲκύμνοι, ⌊ᴾˢτὰ δὲ τῶνᴾˢ⌋ ⌊ᴾˢἄρκτωνᴾˢ⌋ ἀρκτύλοι, τὰ δὲ τῶν ἐλάφων νεβροί, τὰ δὲ τῶν ἀλωπέκων ἀλωπεκιδεῖϲ, τὰ δὲ τῶν λύκων ὡϲ τὰ τῶν κυνῶν ϲκύλακεϲ, ⌊ᴮἰδίωϲᴮ⌋ ⌊ᴮδὲ τὰ τῶν λύκων λυκιδεῖϲ, καὶᴮ⌋ τὰ τῶν λαγωῶν ⌊ᴮλαγιδεῖϲ καὶᴮ⌋ λαγίδια, ⌊ᴮπαρὰ Ξενοφῶντι (Cyneg V 13) δὲ καὶ λάγιαᴮ⌋. ἐφ᾽ ὧν δ᾽ οὔκ ἔϲτιν ἴδιον ὄνομα, τὰ τούτων τέκνα καλεῖται ϲκυλάκια ἢ ϲκυμνία. ⌊ᴮτὰ δὲ πάντων τῶν ἀγρίων τέκνα ὀβρίκαλα οἱ ποιηταὶᴮ⌋ ⌊ᴮ(Aesch Ag 143) καλοῦϲι καὶ ὄβρια (TGF Aesch 48, Eurip 616).ᴮ⌋ λέγοι δ᾽ ἄν τιϲ ⌊ἐπ᾽ αὐτῶν⌋ νέα ⌊ᴮᴼνεογνὰ νεογενῆᴮᴼ⌋, γαλαθηνά, ⌊ᴮᴼνεαρά,ᴮᴼ⌋ ὑγρομελῆ, ἔτεια αὐτοετῆ.

καὶ τὸ μὲν τοῦ λέοντοϲ δ έ ρ μ α λεοντῆ ⌊ᴾˢκαλεῖται καὶᴾˢ⌋ δορὰ λέοντοϲ, ἡ δὲ τῆϲ παρδάλεωϲ παρδαλῆ, ἡ δὲ τῆϲ ἄρκτου ἀρκτῆ, καὶ ἀλωπεκῆ ⌊ἡ⌋ τῆϲ ἀλώπεκοϲ, καὶ λυκῆ ἡ τοῦ λύκου, καὶ μοϲχῆ ἡ τοῦ μόϲχου, ⌊ᴮᴼὡϲ Ἀναξανδρίδηϲ (II frg 65 Ko) εἴρηκενᴮᴼ⌋

⌊ᴮᴼἀρκτῆ λεοντῆ παρδαλῆ μοϲχῆ κυνῆᴮᴼ⌋

ἡ δὲ τῆϲ ἐλάφου νεβρίϲ, ὡϲ ἡ τῆϲ αἰγὸϲ αἰγίϲ, καὶ τοῦ προβάτου κῴδιον.

καὶ ϲυνεργοὶ μὲν κυνηγέτου κύνεϲ, ἵπποι, κυναγωγόϲ, ⌊ᴮᴼἱπ-ᴮᴼ⌋ ⌊ᴮᴼπαγωγόϲ, δικτυαγωγόϲᴮᴼ⌋, λινόπτηϲ ⌊ᴮὁ τὰ ἐμπίπτοντα ἀποϲκοπού-ᴮ⌋

---

1 καλούμεναι A λέγονται B ‖ 2 χρῆϲιν AII, καταχρηϲτικὴν omissis κατὰ δὲ B ‖ 2—3 μὲν ἐπὶ τ. πλ. ὄρεια ὡϲ A μὲν ὄρεια ὡϲ ἐ. τ. πλ. ὄρεια ὡϲ IIC ‖ 3 ἐλεὰ F ὑλαῖα S ‖ 6 πορδάληϲ S | ἐν ξυλόχοιϲι (οιϲ F) II ‖ 11 ἄρκων ἀρκύλοι A ἄρκηλοι Aelian ἄρκιλοι Eustath ‖ 12 ἀλωπεκίδεϲ B | λύκων καὶ τῶν κυν. A ‖ 13 λαγίδεϲ A ‖ 16 ὀβρίκια A ‖ 17 ὀβρικά II ὀβρίαϲ A καὶ ὄβρια οἱ π. καλοῦϲι C ‖ 25 καὶ] ἡ δὲ BC

10—13 λαγιδεῖϲ et 16 ὀβρίκαλα — 17 ὄβρια] Aristoph Byz περὶ ὀνομαϲίαϲ ἡλικιῶν frg 5 N: Aelian nat anim VII 47 Miller Mél 431 Eustath 1625. 45, 711. 29, 753, 1395. 47 Et Gud φωλεόϲ Cf Fresenius de λέξεων Arist p 120 sq et 21 ‖ 16 ὀβρίκαλα] Phot Hes ‖ 21 ἀρκτῆ] Hes ‖ 28 λινόπτηϲ] Hes Phot Schol Aristoph Pac 1178 (Aristoteles)

[μενος]. καὶ ἡ τῶν κυνῶν ἀγωγὴ κυνηγέσιον [^{o}καλεῖται^{BC}] καὶ ἔστι τῷ ἔργῳ ὁμώνυμον. ἰχνευτής, [ἀρκυωρός, σκοπιωρούμενος.]

σκευὴ δὲ [κυνηγέτου] χιτὼν εὐσταλὴς [ἔσται, πρὸς τὴν ἰγνύαν] [καθήκων, οὐ] λευκὸς [οὐδὲ κατ' ἄλλην] εὔχροιαν [προλάμπων], ὡς
18 μὴ πόρρωθεν καθορᾶτο τοῖς θηρίοις· [[καὶ χλαμὺς ὁμοία, ἣν δεῖ]] [[τῇ χειρὶ τῇ λαιᾷ περιελίττειν, ὁπότε μεταθέοι τὰ θηρία ἢ προσμά-]] [[χοιτο τούτοις], καὶ σκυτάλη] ἢ ῥόπαλον, [καὶ ὑποδήματα κοῖλα, ἐς] [μέσην τὴν κνήμην ἀνήκοντα, δεσμῷ ἀκριβεῖ περιεσταλμένα]. εἴη δὲ νέος, κοῦφος, [^{o}ἐλαφρός, δρομικός^{BC}], ὀξύς, [^{o}φιλεργός, ^{FS}ἐθελουργός,^{FSBC}] [^{oFS}[φιλό^{FS}]πονος,^{BC}] φιλοκίνδυνος, [^{o}ἀγωνιστής, θαρσαλέος, ἄγρυπνος], μὴ]
19 [προαποκάμνων, μὴ προαπαγορεύων, [μὴ πρὶν ἑλεῖν ἐνδιδούς^{BC}]. τὰ δὲ [πρὸς κυνηγέσιον] ἐργαλεῖα ξίφη, δρέπανα, ἀκόντια, τόξα, προβόλια, ἄρκυες, [ἐνόδια, δίκτυα, κυνοῦχος,] σχαλίδες, στάλικες, σχαλιδώματα, ποδάγραι, ἁρπεδόναι. [ξίφη μὲν ὡς ὁπότε συμπέσοι θηρίῳ] [ἔχειν ἀμύνασθαι, δρέπανα δ' ὅπως, εἰ δέοι τῆς ὕλης κόψαι εἰς τὴν] [τῶν ἀρκύων ἀκώλυτον στάσιν, ὑπάρχοι τὰ δρέπανα. ἐπὶ ταὐτὰ δὲ]
20 [καὶ ἀξίνας [παρασκευαστέον, εἰ καὶ πρέμνα κόψαι δέοι^{BC}], τόξοις δὲ καὶ ἀκοντίοις [^{o}χρῶντ' ἂν ἐπὶ τὰς ἐλάφους καὶ ἃ πόρρωθεν ἔστι^{BC}] [^{o}βαλεῖν^{BC}], προβολίοις δ' ἐπὶ τοὺς σῦς καὶ τὰ ἄλλα τὰ ἀγχέμαχα θηρία. [^{o}καὶ τὰ μὲν ἀκόντια ἔσται μελίας ἢ ὀξύας, στιφρά, εὐπαγῆ, αἱ δὲ^{BC}] [^{o}λόγχαι αὐτῶν εὐπλατεῖς καὶ ξυρήκεις· τὰ δὲ προβόλια ἔστω μὲν^{BC}] [^{o}κρανείας, στερεὰ δὲ καὶ δορατοπαχῆ, φησὶν ὁ Ξενοφῶν (Cyneg X 3),^{BC}] [^{o}αἱ λόγχαι δ' αὐτῶν ἔστωσαν σιδήρου τομωτάτου^{BC}]. τῆς δὲ λόγχης
21 τὸ μὲν περὶ τῷ ξύλῳ καλεῖται αὐλός, [οὗ τὸ μὲν ἔξωθεν περίμετρος] [τὸ δ' ἔνδοθεν τοῖχος], τὸ δὲ μετὰ τὸν αὐλὸν κοῖλον ὀβελίσκος· ὅθεν δὲ πλατύνεται, πτέρυγες [αἱ ἑκατέρωθεν] προβολαί. [τὸ δ' ἄκρον] γλῶττα [[λέγεται^{FS}]], ἡ τῆς λόγχης ἀκμή· [καὶ δεῖ τῶν πτερύγων]

1—2 κυν. ὁμωνύμως τῷ ἔργῳ BC ‖ 2 post ἀρκυωρός AΠ repet e p 265. 28 δικτυαγωγός | κοποι(πι F)ωρούμενοι Π ‖ 3 ἰχνύαν C ‖ 5 χλανὶς C ‖ 7 τούτοις] τοῖς θηρίοις Π ‖ 11 ἀπαγορεύων A ‖ 13 σχαλίδες] σταλίδες B σταλίδες σχαλίδες C et v l ap Xenoph, cf p 269 l 13. 18 ‖ 13—14 χαλιδώματα AΠ σταλιδώματα B σχαλιδώματα σταλιδώματα C ‖ 15 post ὕλης add τι C ‖ 16 ἐς C ‖ 17—18 τόξα ἀκόντια B, C hic om sed add post θηρία l 19 haec: χρῶνται. τοῖς τόξοις δὲ καὶ ἀκοντίοις εἰς διάφορα ‖ 18 χρῶντ' ἐπὶ F χρῶ τὰ ἐπὶ S ‖ 20 στιφρά Π Xenoph στρεφνά A ‖ 21 ξυρικεις F, in S κεις super κης script ‖ 22 δορατοπαγῆ A δουρατοπαγῆ Π corr Seber e Xenoph ‖ 23 ἔστω Π ‖ 24 τὸ ξύλον BC | οὗ] ἃ Π | περίμετρον AΠ ἡ περίμετρος C ‖ 25 τεῖχος ΠC

6 cf Xenoph Cyneg VI 17 κυνοδρομεῖν περιελίξαντα ἃ ἀμπέχεται περὶ τὴν χεῖρα ‖ 7 cf Cyneg VI 11 ‖ 12 ξίφη—14 ἁρπεδόναι X 141 cf Cyneg II 7 ‖ 15, 16 cf Cyneg II 9 ‖ 20 ἀκόντια—22 δορατοπαχῆ e Cyneg X 3 Sed Pollux Xenoph sententias numquam ad verbum exscripsit

[ἑκατέραν πλατυνομένην καὶ παχυτέραν οὖσαν ἀπολεπτύνεσθαί τε καὶ]
[ἀποστενοῦσθαι, κατὰ μικρὸν ὑπολήγουσαν, ἄχρι πρὸς τὴν γλῶτταν.]
[ἐστομῶσθαι δ' οὐ μόνον τὴν ἀκμὴν ἀλλὰ καὶ τὰς πτέρυγας χρή-]
[σιμον. πρὸς μὲν οὖν τὰ ἄλλα θηρία οὕτω δεῖ παρεσκευάσθαι τὸ] 22
[προβόλιον· πρὸς δὲ τοὺς σῦς κατὰ τὸ τοῦ αὐλοῦ τέλος πρὸ τῶν]
[πτερύγων κνώδοντας ἀμφοτέρωθεν ἐχέτω τῷ αὐλῷ συγκεχαλκευ-]
[μένους σιδήρου στερεοῦ, ἑκατέρωθεν προβεβλημένους, ὡς μὴ προω-]
[θῶν αὐτὸν ὑπὸ θυμοῦ καὶ μένους καὶ τόλμης ὁ σῦς ἀφίκοιτο διὰ]
[τοῦ δόρατος εἰς τὸν ἄνθρωπον, ἀλλὰ καὶ οἱ κνώδοντες ἱστάντες]
[αὐτοῦ τὴν ὁρμὴν ἐμποδὼν τῇ ῥύμῃ γένοιντο εἰς τὸ πρόσω μὴ]
[προχωρεῖν]. τὰ μὲν οὖν ἀκόντια ἐνηγκυλῆσθαι δεῖ διὰ τὴν ἄφεσιν,] 23
[τὰ δὲ προβόλια [FS διὰ FS] τὴν ἐκ χειρὸς χρείαν οὐ δεῖται ἀγκύλης.]
[χρῆσις δὲ τοῦ προβολίου· προβὰς τὸν πόδα τὸν ἀριστερόν, καὶ τὸν]
[δεξιὸν ὑποβὰς ὡς εἶναι τὸ μέτρον τῆς διαβάσεως ὅσον ἐν πάλῃ,]
[τὴν προύχουσαν πλευρὰν ὀξεῖαν ἐχέτω κατὰ τὸν πόδα, καὶ τὴν]
[χεῖρα τὴν ὑπὲρ αὐτὸν ὑπτίαν ἀντειλημμένην μέσην τοῦ προβολίου]
[προτεινόμενος, τῇ δεξιᾷ ἀντεστραμμένῃ τοῦ δόρατος ἐγκρατῶς ἀν-]
[τεχέσθω. καὶ τῇ μὲν ἀριστερᾷ τὸν σίδηρον ἀπευθυνέτω πρὸς τὸ]
[τῆς πληγῆς καίριον· ἡ δὲ δεξιὰ κατὰ τὴν ἑαυτῆς ἰσχὺν ἐπωθείτω] 24
[τὸ προβόλιον. ὁ δ' ὀφθαλμὸς κατὰ τὸ θηρίον ὀξὺς τετάσθω. κἂν]
[μὲν σῦς ᾖ τὸ θηρίον, στοχαζέσθω τις ἢ κατὰ τὸ μεσόφρυον ἢ κατὰ]
[τὴν ὠμοπλάτην ὦσαι τὸ προβόλιον· ἄμφω γὰρ καίρια. εἰ δὲ καὶ]
[τῶν γενύων καθίκοιτο, ἧττον ἂν χρῷτο τοῖς χαυλιόδουσιν· ὁ δὲ]
[πηδῶντος συὸς ὑποθήσει σπασάμενος τὴν μάχαιραν. φυλάττεσθαι]
[δὲ χρὴ μὴ τὸ προβόλιον ὁ σῦς ἐκκρούσῃ τῇ τε τῆς κεφαλῆς ἐκνεύσει]
[βιαίᾳ καὶ τῇ πρὸς τὸν σίδηρον πληγῇ σφοδρᾷ καὶ τῇ ῥύμῃ τοῦ]
[ἄλματος· εἰ γὰρ τοῦτο γένοιτο, ὁμοῦ ἂν τῷ ἀνθρώπῳ γίνοιτο, καὶ] 25
[δεῖ κεῖσθαι πρηνῆ, τῆς ὕλης ἀπρὶξ ἀντειλημμένον· οὐ γὰρ ἂν δύ-]
[ναιτο χρῆσθαι τοῖς χαυλιόδουσι διὰ τὴν σιμότητα, οὐδὲ τὸ σῶμα]

---

1 ἀποπλατύνεσθαι C ‖ 3 μόνην A ‖ 5 δὴ AΠ ‖ 6—7 συγκεχαλκευμένω Π ‖ 8 ὁ σῦς] ὅσης Π ‖ 11 ἐνηγκυλῶσθαι Π ‖ 16 αὐτὸν Ed pr αὐτοῦ A αὐτῶν Π | μέσου? ‖ 17 post δεξιᾷ Π add πρὸς τοὐναντίον | ἀνεστρ(S -ντετρ F)αμμένη Π ‖ 20 τοῦ θηρίου Ed pr ‖ 23 γενείων Π ‖ 24 τοῦ συὸς ὑποθήσας Π ‖ 27—28 καὶ δεῖσθαι A ‖ 28 πρινὴ AS πρινεῖ F, corr Seber | οὐ] οὕτω Π

---

6 κνώδων] Hes Schol Soph Ai 1025 | κνώδοντας — 7 e Xenoph Cyneg X 3 ‖ 7 προωθῶν — 11 e Cyneg X 16 ‖ 13 προβόλιον] Harpocr: Ξενοφῶντος κυνηγ (Phot Suid) | προβὰς — 20 προβόλιον e Cyneg X 11—12 ‖ 21—22 e Cyneg X 16 ‖ 24 φυλάττεσθαι — p 268. 1 e Cyneg X 12—13

[ᴮᴳὑποβάλλειν, ἀλλὰ περιβὰς πατεῖ, αἱ δὲ θήλειαι καὶ δάκνουσιν. εἰ][ᴮᴳ]
[ᴮᴳδ' ἑτέρῳ θηρίῳ προσφέροιτο ὁ κυνηγέτης, μὴ διαβαινέτω μὲν τοῖν][ᴮᴳ]
[ᴮᴳποδοῖν ἐπὶ τοσοῦτον, ἀλλ' ὀρθὸς μᾶλλον ἀνεστηκέτω, διότι τὰ θηρία][ᴮᴳ]
26 [ᴮᴳταῦτα, οἷον παρδάλεις καὶ λέοντες, δρόμῳ μέχρι τοῦ κυνηγέτου][ᴮᴳ]
[ᴮᴳχρώμενα πλησιάσαντα πηδᾷ, στοχάζεσθαι δὲ χρὴ τοῦ στήθους καὶ][ᴮᴳ] 5
[ᴮᴳκαρδίας· αὕτη γὰρ ἐπὶ τούτων ἡ πληγὴ καίριος][ᴮᴳ].

[ᴮᴳἄ ρ κ υ ε ς δὲ καὶ δίκτυα καὶ ἐνόδια, τὸ μὲν λίνον αὐτῶν Αἰ-][ᴮᴳ]
[ᴮᴳγύπτιον ἢ Φασιανικὸν ἢ Καρχηδόνιον ἢ Σαρδιανὸν εἶναι δεῖ. Ἡρό-][ᴮᴳ]
[ᴮᴳδοτος (II 105) δὲ τὸ Φασιανόν, ὅπερ ἐστὶ Κολχικόν, ὑφ' Ἑλλήνων][ᴮᴳ]
[ᴮᴳΣαρδονικὸν καλεῖσθαι λέγει· καὶ δύναται καὶ τὸ ἀπὸ Σαρδοῦς, ἀφ'][ᴮᴳ] 10
[ᴮᴳἧς ἴσως καὶ τὸ Καρχηδόνιον ἔνδοξόν ἐστιν ὡς ἀπὸ τῆς ἑσπέρας][ᴮᴳ]
[ᴮᴳκομιζόμενον][ᴮᴳ]. πάντα μὲν οὖν τὰ θηρευτικὰ πλέγματα δίκτυα κα-
27 λοῖτ' ἄν, Φερεκράτης (I frg 209 Ko) δ' αὐτὰ καὶ ἕρκη εἶπεν· ἡ δὲ
παραλλαγὴ τῶν ὀνομάτων ἐν τῇ χρήσει τῇ θηρευτικῇ δίκτυα μὲν
καλεῖ τὰ ἐν τοῖς ὁμαλέσι καὶ ἰσοπέδοις ἱστάμενα, ἐνόδια δὲ τὰ ἐν 15
ταῖς ὁδοῖς. αἱ δ' ἄρκυες τούτων μὲν ἐλάττους εἰσὶ τοῖς μεγέθεσι,
κεκρυφάλῳ δ' ἐοίκασι κατὰ τὸ σχῆμα, εἰς ὀξὺ καταλήγουσαι. [δεῖ]
[δ' αὐτὰς εἶναι κατὰ τὸν τοῦ Ξενοφῶντος λόγον (Cyneg II 4) ἐν-]
[νεαλίνους, ἐκ τριῶν τόνων συμπεπλεγμένας. ὁ δὲ τόνος [καὶ] κῶ-]
28 [λον καλεῖται· πέπλεκται δ' ἐκ λίνων ὁ τόνος τριῶν]. τῆς δ' ἄρκυος 20
τὸ μέν τι καλεῖται βρόχος· [ἔστι δ' ὁ βρόχος τὸ συνεχὲς ἐν τοῖς]
[δικτύοις τετράγωνον διάστημα, συνεστηκὸς ἐκ τεττάρων ἁμμάτων, ὃ]
[τεινομένης τῆς ἄρκυος γίνεται ῥομβοειδές], δι' οὗ τὴν κεφαλὴν διωθεῖ
τὰ θηρία [ὡς διεκπεσούμενα], καὶ περὶ αὐτὸ ἐνσχεθέντα ἁλίσκεται· ὁ δὲ
περίδρομός [ἐστι τῆς ἄρκυος σχοινίον ἑκατέρωθεν, [[[διὰ]]] τῶν ἄνω τε] 25
[καὶ κάτω τελευταίων βρόχων διειρόμενον], ᾧ συνέλκεταί τε τὰ
29 δίκτυα καὶ πάλιν ἀναλύεται. [δεῖ δὲ τοὺς περιδρόμους ἀναμμάτους]
[εἶναι, φησὶν ὁ Ξενοφῶν (Cyneg II 4), ἵνα εὔτροχοι ὦσιν· προσβάλ-]
[λονται δὲ τοῖς δικτύοις ἀπὸ στροφίων. ἤδη δέ] τινες [τοὺς αὐτοὺς]
[τούτους] ἐπιδρόμους ὠνόμασαν· [οἱ δὲ δύ' ὄντων τὸν μὲν ἐκ τοῦ] 30
[κάτω περίδρομον, ἐπίδρομον δὲ τὸν ἄνωθεν. ἔστι δέ τι ἄρκυος]

---

1 περιβάλλειν A ὑπολαβεῖν Xenoph | ἀμφιβὰς Xenoph ‖ 8 σαρδιανικὸν A ‖ 10 δύναται εἶναι τὸ Π ‖ 13 εἶπεν] καλεῖ AC ‖ 15 καλεῖται Π ‖ 17 ὀξύτητα λήγουσαι Π ‖ 21 μέντοι κ. A | ἐν τοῖς] αὐτοῖς C ‖ 23 ῥαβδοειδές A ‖ 24—25 ἔστι δὲ περίδρομος τ. ἄ. ΠC τὸ δέ τι περίδρομος ᾧ συν. l 26 B | διὰ addidi ‖ 28—29 προβάλ. Π

---

1 θήλειαι e Xenoph Cyneg X 18 ‖ 7—8 e Cyneg II 4 ‖ 13 ἕρκη Ael Dionys frg 129 Schn (Phot) ‖ 14—15 e Cyneg VI 9, II 4 ‖ 21 βρόχος Cyneg II 4 ‖ 25 et 27 περίδρομος Cyneg II 4 ‖ 29 e Cyneg II 6 ‖ 31 e Cyneg VI 9

[μέρος καὶ ἀκρωλένια, ὅπερ ἐστὶ τὰ πέρατα τῶν ἀρκύων, ἃ οἱ μὲν] [κράσπεδα οἱ δὲ πτερύγια ὠνόμασαν. καὶ μὴν τοῖς ἐνοδίοις προσονο-] [μάζονταί τινες μαστοί, κύκλῳ ἐκ λίνων πλέγματα τοῖς ἀκρωλενίοις] [προσπεπλεγμένα, τοῖς δὲ δικτύοις δακτύλιοι, κατὰ ταὐτὰ μὲν τοῖς] 30
5 [μαστοῖς τὸ σχῆμα ἔχοντες, κρίκοι δ' αὐτοῖς σιδήρου πρόσεισιν ὡς] [ἐπὶ μείζοσιν οὖσι τοῖς δικτύοις, ὅθεν καὶ Ξενοφῶν (Cyneg II 4)] [τοῖς μὲν ἐνοδίοις παρὰ τὰς ἄρκυς κῶλον ἕν, ὃ καλεῖται τόνος,] [προστίθησι, τοῖς δὲ δικτύοις παρὰ τὰ ἐνόδιά φησι δεῖν πλείω τόνον] [προστίθεσθαι, ποιῶν τὰ μὲν ἐνόδια δωδεκάλινα τὰ δὲ δίκτυα ἑκ-]
10 [καιδεκάλινα, ἐκείνων ὄντων ἐννεαλίνων. ἀνάλογον δὲ καὶ τὸ μέ-] [γεθος ἐκ [[τῆς]] προσθήκης ἐπαύξει. τούτοις δὲ καὶ σαρδόνες προσ-] 31
[πλέκονται, ὅπερ ἐστὶν ᾧα τοῦ δικτύου, μετὰ τὸν τελευταῖον βρόχον] [ἀνέχουσα τὸ δίκτυον, ὑπὲρ ἣν ὁ περίδρομος ἢ ἐπίδρομος ταῖς σχα-] [λίσι κατὰ τὸ δίκρουν ἔπεστιν]. κεκρύφαλος δ' ἄρκυος ἡ κοιλότης,
15 κορυφαῖον δὲ τὸ στενὸν τὸ τῆς ἄρκυός [ἐστιν], ὅ τινες [καὶ] κορυ-] [φιστῆρα ὠνόμασαν]. κυνοῦχος δ' ἐστὶ δέρμα μόσχειον, εἰς ὃ ἐντί-] θεται τὸ δίκτυον, [τῷ σχήματι πεποιημένον ὥσπερ τὰ σύσπαστα βα-] [λάντια]. στάλικες δὲ [καὶ σχαλίδες καὶ σχαλιδώματα] ξύλα ὀρθά, ἐξ ἄκρου διττά, ἱστάμενα μὲν κατὰ τῆς γῆς, τοῖς δὲ δίκροις ἀνέχοντα
20 τοὺς τῶν δικτύων βρόχους τε καὶ περιδρόμους. [ἀνίσους δ' εἶναι] 32
[δεῖ τάσδε τὰς στήριγγας, ὅπως πρὸς τὰ ὑψηλὰ καὶ κοῖλα τῶν χω-] [ρίων κατὰ τὴν χρείαν ὁ ἀρκυωρὸς ἁρμοσάμενος ἀπισώσῃ τῇ τούτων] [ἀνισότητι τῶν δικτύων τὴν στάσιν, ἣ] καλεῖται ἀρκυστασία. [καθί-] [στανται δ' αἱ σχαλίδες πλάγιαι, μᾶλλον εἰς ἀλλήλας προσνεύουσαι.]
25 ἡ δὲ ποδάγρα ἵσταται μὲν ἐλάφοις καὶ συσὶν ἔστιν ὅτε, καλοῖτο δ' ἂν καὶ ποδοστράβη. κύκλος δ' ἐστὶ σμιλακίνου ξύλου, καὶ ὁ κύκλος

ΣΧΟΛΙΟΝ ad § 32 l 24 ὁ δὲ τόπος, ἐν ᾧ ἵσταται, καλεῖται ἀρκυστάσιον B in textu post προσνεύουσαι

---

1 πέρατα] περιττὰ AS περὶ F ‖ 2 τοῖς μὲν Π ‖ 4 δάκτυλοι Π | μέντοι τοῖς A ‖ 8 δακτύλοις C | πλέονα ΠC ‖ 13 ὅπερ ἣν Π οὕπερ ἣν AC corr Schneiderus Saxo ‖ 13—14 χαλίσι Π ‖ 14 δικυροῦν A | κεκρύφαλον Π | ἄρκυον A ἄρκυος C ‖ 15—16 κορυφητῆρα Π ‖ 17 δύσπαστα C ‖ 18 χαλιδώματα A ‖ 19 μὲν οὖν κατὰ Π ‖ 21 δεῖται δὲ τὰς τήρ. Π

---

1 ἀκρωλένια e Xenoph Cyneg II 6 ‖ 2—4 e Cyneg II 6 ‖ 11 σαρδόνες] Cyneg VI 9 Hes ‖ 14 cf Poll X 141 et Cyneg VI 7 ‖ 15—16 Hes κορυφιστής (sic) ‖ 16—17 κυνοῦχος e Cyneg II 9 ‖ 20—22 e Cyneg II 7 ‖ 23 ἀρκυστασία] Cyneg VI 6 ‖ 26 ποδοστράβη] Harp: Ὑπερείδης, Ξενοφῶν ἐν τῷ περὶ κυνηγετικῶν (IX 11—20) (Suid Phot[I]) BA[γ] 290. 25 Phot[II] Et M 678. 13 et 26 ‖ 26—p 270. 2 e Cyneg IX 12

33 στεφάνη καλεῖται. [κατείληπται δ' ἥλοις σιδηροῖς καὶ ξυλίνοις πα-]
[ραλλὰξ ἑκατέροις, καὶ πλόκανον] ἐν μέσῳ πέπλεκται, ὡς πατῆσαν]
[τὸ θηρίον [φερόμενόν θ' ὥσπερ†] ἀναστρέψαι τε τὴν ποδοστράβην]
[καὶ ἐνσχεθῆναι στερεῷ βρόχῳ κατὰ τέχνην ἐπ' αὐτὸ τοῦτο πεποιη-]
[μένῳ. ἐντίθεται δ' ἡ ποδοστράβη ὀρύγματι, καὶ] ἀπὸ [τοῦ περὶ] τῇ 5
στεφάνῃ [βρόχου] σειρά τις ἐκτέταται, ἣν καὶ σειρίδα καὶ ἁρπεδόνην
καλοῦσιν. [πλέγμα δ' ἐστὶν ἐκ σπάρτου στερεὸν ἡ σειρίς, καὶ ταύτης]
[ἀπήρτηται ξύλον ἐν ἄλλῳ πλησίον ὄντι ὀρύγματι κατακείμενον, ὅπως,]
[ἐὰν τὸ θηρίον ἐπιβὰν ἀναστρέψῃ τε τὴν ποδοστράβην ἐφ' ἑαυτὸ]
[καὶ ἐνσχεθῇ τῷ βρόχῳ, τὴν ἁρπεδόνην καὶ τὸ ξύλον ἐφελκόμενον] 10
[ἐμποδίζηται πρὸς τὸν δρόμον, μάλιστα εἰ τῶν προσθίων τις αὐτοῦ]
34 [ποδῶν ἐνσχεθείη. καὶ τῷ μὲν κυνηγέτῃ μεταθεῖν ὑπάρξει κατὰ τὸν]
[ὁλκὸν τὸν τοῦ ξύλου, ῥᾷον μὲν εἰ κατὰ γῆς μαλακῆς ἐπισύροιτο·]
[ἡ δὲ τραχυτέρα καὶ αὐτὴ τὸ σημεῖον ἐνδίδωσι τῷ θηρίῳ, μετιέναι]
[κατὰ τὰ ἀποσύρματα τοῦ ξύλου. ἔσθ' ὅτε δὲ καὶ αὐτὸ τὸ ξύλον] 15
[ἐνσχεθὲν ὕλης δασύτητι ἢ πέτρας ἀνισότητι ἔστησε τὸ θηρίον. τῷ]
[δ' ὀρύγματι χρὴ τῆς στερεᾶς γῆς καί τινος πόας ἢ φύλλων ἐπι-]
[φέρειν, τὴν δὲ νεαρὰν γῆν ἐκ τοῦ ὀρύγματος ἀποφέρειν ὅτι πορ-]
[ρωτάτω, τοῦ μὴ τῆς νέον κεκινημένης γῆς τὸ θηρίον ὀσφραινόμενον]
[δυσωπεῖσθαι.] 20

[καὶ ἥδε μὲν ἡ παρασκευὴ μεθ' ἧς τὸν κυνηγέτην δεῖ παρεῖναι·]
35 [ἱστάτω δὲ τὰ δίκτυα [ἐν πᾶσι τόποις, ὁδοῖς τριμμοῖς δρυμῶσι ἕλεσι[BC]
[C]πεδίοις ὄρεσιν ὕδασιν ὕλαις νάπαις], ἵνα ὑποπτεύει δύνασθαι τὸ]
[θηρίον εὑρεθῆναι διαστήματα καταλιπὼν πρὸς τὰς διαδρομάς, ἃ κα-]
[λεῖται παράδρομα. ἐχέτω δὲ καὶ ἄλλα μικρὰ δίκτυα, εἰ καὶ τὰ] 25
[διαστήματα προσαποφράξαι δέοι· ταῦτα δὲ [τὰ δίκτυα] τῶν κυνη-]
[γετικῶν τινὲς ἐμβόλια κεκλήκασιν ὥσπερ ἐμβαλλόμενα τῇ τῶν προ-]
[τέρων στάσει.]

36 φαίης δ' ἂν στήσασθαι τὰς ἄρκυς, ἑστήσασθαι [περιστήσασθαι,]

---

1 σιδήρου AΠ ‖ 1—2 ἐναλλὰξ Xenoph ‖ 2 μ. πλέγματι ὡς A μ. πλέγματι πέπλεκται ὡς ΠC ‖ 4 ἑτέρῳ βρ. AΠ ‖ 5—6 τῆς στεφανῆς B ‖ 6 σειράδα BC ‖ 7 σειρά Π ‖ 8 ἐπήρτηται Π | ὄντι] τινὶ A | ὅπερ A ‖ 13 μᾶλλον ἐπισ. A ‖ 15 ἐπισύρματα Xenoph ‖ 17—18 ἐπιφορεῖν ΠC ‖ 18 ἀποφ.] ἐπιφέρειν C ‖ 19 φερόμενον AΠ ‖ 21 παριέναι Π ‖ 22 τρ. δρόμοις ἔργοις πεδ. Π ‖ 23 ἵνα] ἔνθα C ‖ 24 διαλιπὼν C ‖ 25 παραδρομάς A ‖ 26—27 κυνηγετῶν C

6, 7 e Xenoph Cyneg IX 13 ‖ 6 ἁρπεδόνη] Bachm L in BA 446. 9 Suid ‖ 10, 11 e Cyneg IX 19 ‖ 12—15 e Cyneg IX 18 ‖ 15, 16 e Cyneg IX 19 ‖ 17—20 e Cyneg IX 16 ‖ 22—24 cf Cyneg VI 5, 6, 8.

[BC]περιβαλεῖν περιβαλέcθαι, περιπετάcαι, περιθεῖναι[BC], περιτεῖναι [BCFS][ἐπι-[FSBC]] [BCFS][τεῖναι[FS]], ὀρθῶcαι[B], cτοιχίcαι [BC]περιcτοιχίcαι[BC] περιcτοιχίcαcθαι. καλεῖται δ' αὐτῶν ἡ cτάcιc [cτοῖχοc καὶ cτόχοc καὶ cτοχὰc καὶ cτο-[B]] [χαcμὸc καὶ[B]] cτοιχιcμόc. [cτοχὰc δὲ καλεῖται καὶ χειροποίητά τινα[B]] [οἰκοδομήματα ἐκ λίθων, ἢ ὕληc ὑπὲρ τὴν γῆν ἀναcτήματα, κατὰ[B]] [χρείαν τῆc τῶν δικτύων ἐξ ἴcου cτάcεωc, εἴ τι κοῖλον εἴη περὶ τὸ[B]] [ἀρκύcτατον[B]]. Cόλων δὲ καὶ cτοιχάδαc τινὰc ἐλάαc ἐκάλεcε, [ταῖc[B]] [μορίαιc ἀντιτιθείc, ἴcωc[B]] τὰc κατὰ cτοῖχον πεφυτευμέναc.

γενναῖαι κύνεc Λάκαιναι, Ἀρκάδεc, [BC]Ἀργολίδεc[BC], Λοκρίδεc, 37
Κελτικαί, Ἰβηρικαί, [Καρῖναι[B]], Κρῆccαι, [Μολοττικαί, Ἐρετρικαί, Ὑρκα-[B]] [ναί[B]], Ἰνδικαί. [οἱ δὲ κύνεc οἱ Ψυλλικοὶ καλούμενοι ἀπὸ πόλεωc[B]] [Ἀχαϊκῆc [ἀρχαίαc] κέκληνται, ὥcπερ οἱ Ἐλυμαῖοι ἀπὸ ἔθνουc μεταξὺ[B]] [Βάκτρων καὶ Ὑρκανίαc κειμένου[B]]. Καcτόριαι δὲ καὶ Μενελαΐδεc καὶ Ἁρμόδιοι ἀπὸ τῶν θρεψάντων ὠνομάcθηcαν. λέγουcι δὲ τὰc μὲν 38
Λακαίναc ἐξ ἀλωπέκων τὸ ἀρχαῖον καὶ κυνῶν γενομέναc κληθῆναι ἀλωπεκίδαc, τὰc δ' Ὑρκανὰc ἐκ κυνῶν καὶ λεόντων, καὶ κληθῆναι λεοντομιγεῖc. Ἀριcτοτέληc (Hist Anim VIII p 607ᵃ 3) δὲ τὰc Ἰνδικὰc [FS]κυνὸc[FS] καὶ τίγριδοc λέγει [τρίτην γενεάν· τὰc γὰρ προτέραc[B]] [δύο ζῷα γίνεcθαι θηριώδη[B]]. Νίκανδροc δ' ὁ Κολοφώνιοc (frg 97 Schn)

---

1 περιπετάcθαι A ‖ 7 ἐλαίαc B ἐλαc(in rasura)αc C ‖ 8 ἀντιτιθεὶc] ἀντιθεὶc Bekker ‖ 9 λακωνικαὶ AΠ ‖ 10 καὶ ἐριναὶ S καεριναὶ F ‖ 11 τυλικοὶ F τιλλικοὶ S ‖ 12 ἀρχαικῆc ἀρχαίαc Π cf p 272. 15, nusquam Psylla Achaiae oppidum, sed Libyes sunt Psylli. an a ψυλλ. pulice? ‖ 13 καcτόριοι BC ‖ 14 δὲ οἱ μὲν τὰc λ. AΠC ‖ 16 ἀλωπεκίναc, οἱ δὲ A ἀλωπέδναc οἱ δὲ Π | ἀρκάνὰc Π ἀρκάδαc B ‖ 17 λεοντομηδεῖc Π ‖ 18 λέγει] κατὰ C ‖ 18—19 γενεάν. δύο γὰρ τὸν προτοῦ χρόνον ζῶα γενέcθαι θηριώδη, λέοντα καὶ ἄρκτον. Νίκ. A γεν. τὰc γὰρ δύο τὰc πρὸ τοῦ ζώου γίν. Π ‖ 19 θηρώδη Π

2—3 περιcτοιχίcαcθαι, cτοῖχοc] Harp περιcτοιχίζεται· Δημοcθένηc (IV § 9) ... ἐκ μεταφορᾶc τῶν κυνηγετῶν· κατὰ γὰρ τὰc ἐκδρομὰc τῶν θηρίων ὀρθὰ ξύλα ἱcτᾶcιν, ἃ καλοῦcι cτοίχουc ἢ cτόχουc, καταπεταννύντεc αὐτῶν δίκτυα, ἵν' ἐὰν αὐτοὺc ἐκφύγῃ τὰ θηρία εἰc τὰ δίκτυα ἐμπέcῃ, ὡc ὑποcημαίνει Ξενοφῶν ἐν τῷ Κυνηγετικῷ (VI 5) (Phot[II] Suid) B A[V] 288. 23 Phot[I] Et M 699. 33 ‖ 7 ἀρκύcτατον] Hes | cτοιχάδαc] Harp περίcτοιχοι . . . Δίδυμοc δέ τι γένοc ἐλαιῶν περιcτοίχουc καλεῖ, ἃc Φιλόχοροc cτοιχάδαc προcηγόρευcε. μήποτε δὲ περιcτοίχουc κέκληκεν ὁ ῥήτωρ (Demosth LIII § 15) τὰc κύκλῳ περὶ τὸ χωρίον ἐν cτοίχῳ πεφυκυίαc (Phot Suid) Phot cτοῖχοc ‖ 9—11 Λάκαιναι, Λοκρίδεc, Κρῆccαι, Ἰνδικαί] e Xenoph Cyneg X 1 (IX 1), cf Oppian Cyneg I 371—375 ‖ 10 de Celticis canibus cf Arriani Cyneg 1 sqq | Καρῖναι] cf Hes Κάειρα· Καρίνη, Oppian Cyneg I 371. 396 ‖ 11 Ψυλλικοί] Hes Cf Schol Apollon Rh I 752 Οἰνομάου ἵπποι Ψύλλα ... (Pherecydes?) ‖ 13 Καcτόριαι Cyneg III 1 ‖ 15 e Cyneg III 1 cf Aristot Hist anim VIII 167

τοὺς Ἰνδικοὺς κύνας ἀπογόνους εἶναί φησι τῶν Ἀκταίονος κυνῶν, αἳ μετὰ τὴν λύτταν σωφρονήσασαι, διαβᾶσαι τὸν Εὐφράτην ἐπλανή-
39 θησαν εἰς Ἰνδούς· ὥσπερ καὶ τὰς Χαονίδας καὶ Μολοττίδας ἀπογόνους εἶναί φησι κυνός, ὃν Ἥφαιστος [ἐκ χαλκοῦ] Δημονησίου χαλκευσάμενος, ψυχὴν ἐνθείς, δῶρον ἔδωκε Διὶ κἀκεῖνος Εὐρώπῃ, αὕτη δὲ Μίνῳ [καὶ Μίνως Πρόκριδι καὶ Πρόκρις Κεφάλῳ]. φύσιν δ' εἶχεν ἄφυκτος εἶναι, ὥσπερ ἡ Τευμησσία ἀλώπηξ ἄληπτος· καὶ διὰ τοῦτο ἀπελιθώθησαν ἄμφω, ὁ μὲν ἵνα μὴ λάβῃ τὴν ἄληπτον ἀλώπεκα, ἡ δ' ἵνα μὴ φύγῃ τὸν ἄφυκτον κύνα. [αἱ δὲ Καστορίδες]
40 [Κάστορος θρέμματα, Ἀπόλλωνος τὸ δῶρον· ταύτας δ' ὁ αὐτὸς οὗτος] [ποιητὴς [εἶναι] τὰς ἀλωπεκίδας λέγει, μιξαμένου τὸ γένος ἀλώπεκι] [Κάστορος. αἱ δ' Ἐρετρικαί, καὶ ταύτας Ἀπόλλων ἔδωκεν· τοὺς δὲ] [λαβόντας καὶ θρέψαντας [τοὺς] Εὐρυτίδας φησὶν εἶναι. καὶ μὴν] [τάς γε Μενελαΐδας τὰς αὐτὰς εἶναί φησι ταῖς Ψυλλικαῖς, δύ' ἀδελ-] [φῶν κυνῶν ἐκεῖθεν ὑπὸ Μενέλεω περὶ τὴν Ἀργολικὴν τραφεισῶν.] περὶ δὲ Κυρήνην ἐκ λύκων καὶ κυνῶν γίνεσθαί τι γένος Ἀριστοτέλης (Hist Anim VIII p 607ᵃ 2) λέγει. τῶν δέ γε Κρητικῶν κυνῶν οἱ
41 μὲν διάπονοι οἱ δὲ πάριπποι καλοῦνται, διάπονοι μὲν οὕς φασι καὶ τὰς νύκτας ταῖς ἡμέραις ἐν ταῖς πρὸς τὰ θηρία μάχαις ἐπιλαμβάνειν, καὶ πολλάκις παρευνασθέντας τοῖς θηρίοις μεθ' ἡμέραν ἄρχεσθαι τῆς μάχης· οἱ δὲ πάριπποι τοῖς ἵπποις συνθέουσιν, [οὔτε προθέοντες] [οὔτε μὴν ἀπολειπόμενοι]. οἱ δὲ κυναμολγοὶ κύνες εἰσὶ περὶ τὰ ἕλη τὰ μεσημβρινά, γάλα δὲ βοῶν ποιοῦνται τὴν τροφήν, καὶ τοὺς ἐπιόντας τοῦ θέρους τῷ ἔθνει βοῦς Ἰνδικοὺς καταγωνίζονται, ὡς ἱστορεῖ Κτησίας (frg 62 C. Müller).

42 κύνες [ᴮᴳδ'ᴮᶜ] ἔνδοξοι ὁ Πύρρου [ᴮᴳτοῦ Ἠπειρώτουᴮᶜ], ὃς ἐκβοήσαντος μὲν ἐκ τῶν ὕπνων αὐτοῦ περιβὰς ἐφύλαττε τὸν Πύρρον, ἀποθανόντος δὲ καιομένου τοῦ νεκροῦ ἐνήλατο εἰς τὴν πυράν. οἱ δ'

---

1 Ἰνδοὺς AC | Ἀκταίωνος AΠB ‖ 2 ἐφράτην Π ‖ 3 μαχαονίδας A ‖ 4 φασι A | δημοννησίου A δημινησίου Π ‖ 5 ἔθηκε C ‖ 7 τελμινσία A τευμησία BC ‖ 9 φάγη C ‖ 10 θρέμμα C ‖ 13 φασὶν AΠ ‖ 14 ψυλλίκτραις C ‖ 14—15 Ἀργολικὴν cf p 271. 12 ‖ 16 τι γένος] τινος Π ‖ 18 οὓς] οὖν BC ‖ 21 προσθέοντες Π ‖ 22 ἀπολείποντες Π | ἀναμολγοὶ A συναμολγοὶ Π ‖ 24 τῷ ἔθ. τ. θέρ. ΠB ‖ 26 ὡς ἐκβ. Π ‖ 27 μ. αὐτοῦ ἐκ τ. ὕ. A ‖ 28 ἐνείλατο Π

6—9 num ad Nicandrum referendae sint, dubito. Aliter Phot s Τευμησία (Et M 755. 51 Suid) Pausan IX 19. 1, Hes, Antonin Lib 41 ‖ 9 Καστορίδες] cf Xenoph Cyneg III 1 ‖ 22—24 κυναμολγοί] in Aeliani NA XVI 31 (Κτησίας ἐν λόγοις Ἰνδικοῖς), Strab XVI 771, Diodor III 31 rectius leguntur. Κυναμολγοί enim populi nomen, quia τῶν θηλειῶν κυνῶν ἀμέλγουσι τὸ γάλα ‖ 28 idem de Pyrrhi privati cuiusdam cane Plutarch de sollertia animal 970 C

Ἡσιόδου παραμείναντες αὐτῷ ἀναιρεθέντι κατήλεγξαν ὑλακῇ τοὺς φονεύσαντας. ὁ δ' Ἰκαρίου κύων καὶ ἔδειξε τῇ θυγατρὶ τὸν Ἰκαρίου νεκρόν· [καὶ εἰ χρή τι πιστεύειν τοῖς ποιηταῖς, οὗτός ἐστιν ὁ Σείριος.] ἔνδοξος δὲ καὶ ὁ Ἠπειρωτικὸς Κέρβερος, καὶ ὁ Ἀλεξάνδρου [Περί-] [τας, τὸ θρέμμα τὸ Ἰνδικόν· ἐκράτει δ' οὗτος λέοντος, ἑκατὸν μνῶν] [ἐωνημένος, [καὶ ἀποθανόντι αὐτῷ πόλιν φησὶ Θεόπομπος (FHG I[p] [p]334) Ἀλέξανδρον ἐποικίσαι]. λέγουσι δὲ τοὺς γενναιοτέρους τῶν] 43 [Ἰνδικῶν ἄλλο μὲν θηρίον ἀπαξιοῦν μεταθεῖν, λέοντι δ' ὡς ἀξιομάχῳ] [προσαγωνίζεσθαι μόνῳ, ἔχεσθαί τ' ὀδὰξ ἐμφύντας, ὥστε κἂν ἁλῷ τὸ] [θηρίον, πολλὰ πράγματα τοὺς κυνηγοὺς ἔχειν ὡς ἀποσπάσαι τοῦ] [θηρίου τοὺς κύνας. τὸν δ' Ἀλέξανδρον ἐπὶ πείρᾳ λαβόντα παρὰ] [Σωπείθους τοιούτους κύνας ἐν Ἰνδοῖς, πολλὰ θηρίων εἴδη παρα-] [βαλεῖν τινὶ τῶν κυνῶν· τὸν δ' ἐκταθέντα κατὰ γῆς ἀτρεμεῖν ὡς] [οὐδὲν πρὸς αὐτὸν οὖσαν τὴν θήραν τὴν ἄτιμον. λέοντος δὲ προ-] 44 [οφθέντος ἐξαναστῆναι, γνωρίσαντα τὸν [ὄντα ἄξιον] ἀνταγωνιστήν.] [κἀπειδὴ συμπλακεὶς κατήθλησε τὸ θηρίον, ὁ μὲν ἐνδακὼν εἶχετο,] [μαχαίρᾳ δέ τις ἀπέκοψε τὸν πόδα τοῦ κυνός, καὶ ὃς οὐδ' ὑπὸ τὴν] [ἀλγηδόνα τῆς τομῆς ἠνέσχετο λῦσαι τὸ δῆγμα, ἀλλὰ θυμῷ τὸ δρώ-] [μενον ἠγνόει. παρὰ δὲ Πώρου τῷ βασιλεῖ δοθεὶς δῶρον κύων δύο] [λεόντων λέγεται κρατῆσαι]. ἡ δ' ἐπὶ Ἄργῳ τῷ Ὀδυσσείῳ κυνὶ παρ' Ὁμήρῳ (ρ 291 sq) θαυματοποιία γνώριμος. [ἦν δὲ καὶ Ἀλκιβιάδη κύων] [ἔνδοξος, ἑβδομήκοντα μνῶν ὤνιος, τὸ κάλλος θαυμαστός· οὗ τὴν] 45 [οὐρὰν ἀφελών, πρὸς τὸν μεμφόμενον ὅτι τῷ κάλλει τοῦ κυνὸς ἐλυ-] [μήνατο, ἐξεπίτηδες ἔφη τὸ ζῷον ἀκρωτηριάσαι, ἵνα τοῦτο καὶ μηδὲν] [ἄλλο Ἀθηναῖοι ὑπὲρ αὐτοῦ λέγωσιν. ἔνδοξος δὲ καὶ ἡ Ἀταλάντης] [κύων, Αὔρα τοὔνομα, ἣν ὁ Καλυδώνιος σὺς ἀπέκτεινεν· ἀφ' ἧς τὸ] [Κυνὸς σῆμα ἐν Καλυδῶνι. καὶ ἕτερον δ' οὕτω σῆμα ἐν Ἑλλησπόντῳ]

---

2 ἰκάρου BC ‖ 3 σύριος AS ‖ 4 ὑπηρετικός Π | ἀλεξάνδρου ὁ πρὸς λέοντας ἀγωνιζόμενος B ‖ 4—5 περὶ τὰς S περὶ τὸ F περίττας A περιστὰς C ‖ 7 γενναίους ΠC ‖ 9 μόνον Π ‖ 11 πείρᾳ δῶρα λαβόντα C ‖ 11—12 λαβόντα ἐθελῆσαι ἰδεῖν τοὺς τοιούτους ἰνδικοὺς κύνας· ὅθεν καὶ πολλὰ θ. εἴ. π. τινα τῶν κυνῶν ἐκέλευσε A ‖ 12—13 παραλαβεῖν Π ‖ 13 τῆς γῆς ΠC ‖ 15 ἄξ. ὄντα Π ἀγωνιστήν ΠC ‖ 16 συμπλεκεὶς κατηγωνίσατο C ‖ 19 Πώρῑ Π, πώρωι a man I corr in πύρρωι C ‖ 25 ὑπὲρ αὐ. Ἀθ. Π

1—2 = Plutarch l l 969 E ‖ 2—3 Apollodor bibl III 14. 7. 3, Hyg fab 130, Po Astr II 4, Schol Π X 22 ABD (Ἐρατοσθένης), Schol Apollon Rh II 517 ‖ 4—6 cf Plutarch Vit Alexandr 61 (Sotion cf FHG III p 505) ‖ 8—19 cf Aelian NA VIII 1, Strabon XV 700, Diodor XVII 92, Curt gest Alex M IX 1. 31 ‖ 20—25 = Plutarch Vit Alcibiad c 9

[κεκλήκασιν ἀπὸ ἐνδόξου κυνός, [εἰ μὴ πιστεύομεν ὅτι [ἀπὸ] Ἑκάβης]]
46 [[εἰς κυνὸς] μορφὴν μεταβαλούσης οὕτως ὠνομάσθη]. ὁ δὲ Γηρυόνου
κύων ὁ τὰς βοῦς φυλάττων ἀδελφὸς μὲν ἦν τοῦ Ἡπειρωτικοῦ Κερ-
βέρου, ἀνῃρέθη δ' ὑφ' Ἡρακλέους· τὸ δ' ὄνομα αὐτοῦ Γαρ(γ)ήττιος,
[καὶ ἔχει μνῆμα ἐν Ἰβηρίᾳ]. γνώριμος δὲ καὶ Τριακὰς ἡ Παιονικὴ 5
κύων· [Δαπάνις δ' αὐτὴν ὁ Παιονίας κατράπης δῶρον ἔδωκεν Ἀλε-]
[ξάνδρῳ τῷ βασιλεῖ]. οὐ μὴν οὐδ' ὁ Μάγνης κύων, τὸ Ἱππαίμονος
κτῆμα, ὁ Λήθαργος ἀνώνυμος, ὃς τῷ δεσπότῃ συντέθαπται, [καθάπερ]
[μηνύει τοὐπίγραμμα (A P VII 304)·]

47 [ἀνδρὶ μὲν Ἱππαίμων [ὄνομ'] ἦν, ἵππῳ δὲ Πόδαργος] 10
[καὶ κυνὶ Λήθαργος καὶ θεράποντι Βάβης.]

[τὰ μὲν δὴ τῶν Ἀκταίονος κυνῶν ὀνόματα, κατὰ τὴν Αἰσχύλου]
[(TGF 245) δόξαν, Κόραξ Ἅρπυια Χάρων Λυκόττας·] οἱ δὲ
[καὶ] Ξενοφῶντι τῷ Γρύλλου γεγενῆσθαί φασιν ἔνδοξον κύνα, Ἱπ-
ποκένταυρον τὴν προσηγορίαν. [καὶ μὴν Μάγνητας μὲν τοὺς ἐπὶ] 15
[Μαιάνδρῳ τρέφειν φασὶ κύνας πολέμων ὑπασπιστάς· τοιοῦτοι δ' ἦσαν]
[καὶ Παίοσιν οἱ σύνθηροι κύνες. ἔνδοξον δὲ καὶ Λυκάδα τὴν Θετ-]
[ταλὴν Σιμωνίδης (frg 130 B⁴) ἐποίησε, γράψας [τουτὶ] τοὐπί-]
[γραμμα ἐπὶ τῷ τάφῳ τῆς κυνός·]

48 [ἦ σεῦ καὶ φθιμένας λεύκ' ὀστέα τῷδ' ἐνὶ τύμβῳ] 20
[ἴσκω ἔτι τρομέειν θῆρας, ἄγρωσσα Λυκάς.]
[τὰν δ' ἀρετὰν οἶδεν μέγα Πήλιον ἅ τ' ἀρίδηλος]
[Ὄσσα Κιθαιρῶνός τ' οἰονόμοι σκοπιαί.]

[καὶ γὰρ ἡ Τεγεᾶτις Ἀνύτη (23 Jacobs Anth Gr I) Λοκρίδα δόξης]
[ἐμπέπληκεν, ἐφ' ἧς τῷ τάφῳ φέρουσα ἐπέγραψεν·] 25
[ὤλεο δή ποτε [καὶ σὺ] πολύρριζον παρὰ θάμνον,]
[Λόκρι, φιλοφθόγγων ὠκυτάτη σκυλάκων·]
[τοῖον ἐλαφρίζοντι τεῷ ἐγκάθετο κώλῳ]
[ἰὸν ἀμείλικτον ποικιλόδειρος ἔχις.]

---

4 Ταρτήττιος coni Wilam ‖ 5 τρίακος AΠ ‖ 6 δεπάνης A | παιωνίας A παιανίας Π ‖ 7 ἐπαίμονος Π ‖ 11 λήθαργος Poll et Dion edd, θήραγρος λήθαργος Ant Pal ‖ 13 ἀραία A | λυκοιτάς Π ‖ 14 γρύλου Π ‖ 19 C post κυνὸς add καὶ ἄλλαι δέ τινες τοιαῦται ἄδονται ‖ 20 ἧς αὖ AS εἰς αὖ F corr H Stephan | φθίμενον A ‖ 22 οἶδεν] εἶ δὲ A | ἀταράδηλος Π ‖ 24 τεγαιᾶτις Π ‖ 26 καὶ ἀπολύριζον A corr Salmasius ‖ 28 ἐλαφρίζοντα A ‖ 29 ποικιλόδειρις A κιλόδειρος Π

---

1 cf Strabon VII frg 56 etc ‖ 2, 3 Hesiod Theog 309 sq ‖ 10, 11 legitur etiam in Favorini Corinthiaca (Dion Pr or 37, 39 II p 26 ed Arnim) ‖ 13 cf Hygin fab 181: Coran, Arpyia (etiam in Ovid Met III 215), Charops Lyncaeste ‖ 15—16 = Aelian NA VII 38 et Var hist. XIV 46

[θηρατέον μὲν τοίνυν ἐν παντὶ καιρῷ, πειρατέον δὲ τῆς] 49
[κυνῶν ἀρετῆς ἐν κρύει μὲν εἰ μὴ μαλακιοῦσι [τὰς] ῥῖνας, ἐν θέρει]
[δ' εἰ φέρουσι τὸν ἥλιον καὶ συνιᾶσι τῶν ἰχνῶν, τοῦ ἡλίου τὸ πνεῦμα]
[τὸ ἀπ' αὐτῶν ἀμαυροῦντος, ἦρος δ' εἰ ἐν πλήθει τῆς ἀπὸ τῶν]
[ἀνθέων ἀπορροῆς διακρίνουσι τὰς ὀσμάς. τῆς μὲν οὖν χειμερινῆς τε]
[καὶ θερινῆς ὥρας ὁ ἠρινὸς καιρὸς εἰς θήραν ἐπιτηδειότερος ὡς τοῦ]
[ἀέρος ἄμεινον κεκραμένου, πλήν γε παρ' ὅσον ταῖς κρίσεσι τῶν]
[ἰχνῶν ἐνοχλεῖ τὰ ἄνθη· τὸ δὲ μετόπωρον ἐγγυτάτω μέν ἐστι τῆ] 50
[κράσει πρὸς τὸ ἔαρ, οὔτε δ' αἱ ἀπὸ τῶν ἀνθέων ἀπόρροιαι οὔθ' αἱ]
[ἀπὸ τῶν ἤδη συγκεκομισμένων καρπῶν ἐφ' ἑαυτὰς ἕλκουσι τὰς ῥῖνας]
[τῶν κυνῶν. διὰ μέντοι χιόνος ἐπιφανέστερα τὰ ἴχνη καὶ [οὐ δυσζή-]
[τητος, [ἀλλ'] εὐεύρετος ὁ λαγώς], καθότι καὶ τῇ δασύτητι τῶν ὑπὸ]
[τοὺς πόδας αὐτοῦ τριχῶν ὄγκοι προσιζάνοντες τοῦ δρόμου τὴν]
[ῥᾳστώνην ἐμποδίζουσιν.]
τροφαὶ μὲν δὴ τοῖς σκύλαξι μετὰ τὸ ἐκ τῶν μητέρων γάλα — 15
τοῦτο γάρ [φησιν] αὔξιμον [εἶναι ὁ Ξενοφῶν (Cyneg VII 3) αὐτό]
τε καὶ τὸ μητρῷον πνεῦμα — [ἀλλὰ μετὰ τοῦτό γε αἵματα [ζώων] 51
ἁλισκομένων, ἵνα προσεθίζωνται τῇ κυνηγετικῇ τροφῇ. [σκυλακεία]
[δ' ἡ μέν τις [νοείσθω σκυλάκων ἀνατροφή, ἡ δὲ] σκυλάκων γένεσις.]
[†καὶ τὸ σκυλακεύειν τὰς κύνας [χρῆναι] τοῦ χειμῶνος ἐστὶν ἐμπι-]
[πλάναι σκυλάκων καὶ ὀχεύειν†· [προδιαπονηθεῖσαι δέ, εἶτα ἀνα-]
[παυσάμεναι κατὰ καιρὸν ἂν συνδυάζοιντο, τῷ μὲν πόνῳ γεγε-]
[νημένων αὐταῖς τῶν σωμάτων εὐπαγῶν, τῇ δ' ἀναπαύσει πρὸς]
[ἰσχὺν τραφέντων. ἐσθίειν δ' αὐτὰς τότε δεῖ πρὸς κόρον, ἐπεὶ ὁπότε]

---

2 μαλακιοῦσι cf Aelian HA I 32, IX 16 | μαλακιῶσι Xenoph ‖ 4 εἰ] ἡ Π ‖ 5 ἀνθῶν ΑΠ semper | ἐπιρροῆς, in marg γρ. ἀπορροῆς A | ὀρμὰς C ‖ 8 μετόπωρον ὅμοιον μὲν τὴν κρᾶσιν ἔαρι, πλεονεκτεῖ δὲ τῷ μήτε τὰς ἀπορροίας τῶν ἀνθῶν μήτε καρπῶν τινῶν ἐφ' ἑαυτὰς ἕλκειν τὰς ῥίνας τῶν κ. (l 10—11) C ‖ 10 συγκεκαυσμένων Π ‖ 11 χιόνος] χρόνου A | ἴχνη ἐστὶν C ‖ 11—12 δυσζήτητα χειμῶνος ὥρα καθότι A ‖ 12 εὐαίρετος Π ‖ 15 post γάλα A add κρέας ‖ 15—18 B ita: ὅτι μετὰ τοῦ ἐκ τῶν μητέρων γάλακτος, τὸ τῶν ἁλισκομένων αἷμα δεῖ προσφέρεσθαι τοῖς σκύλαξιν ἵνα ‖ 17 αἱμάτων Π ‖ 18 εἶτα τὸ τῶν ἁλισκομένων αἷμα ἵνα C ‖ 19 δὲ εἰ μέν τις ἐστιν σκυλάκων C | νοεῖσθαι Π ‖ 20 καίτοι τὸ σκυλ. ΑΠ ‖ 20—21 ἐμπιπλάμενα Π | Exspecto καὶ τὸ σκυλακεύειν ἐστὶν ἐμπιπλάναι σκυλ. καὶ ὀχεύειν. χρὴ δὲ σκυλακεύειν τ. κύνας τοῦ χειμῶνος. Interpretationes verborum σκυλακεία l 18 et σκυλακεύειν l 20 scholiastae videntur, interpolatae textum conturbaverunt ‖ 21—22 διαπαυσάμεναι Π

---

2 cf Xenoph Cyneg V 2 ‖ 4—8 Cyneg V 5 ‖ 10—11 e Cyneg V 5 ‖ 12—13 e Cyneg VIII 8 ‖ 16 αὔξιμον] cf Lex Sabaitic ‖ 22 sqq Cyneg VII 1

[BC]θηρᾶεν τὸ ἐμπίπλασθαι οὐ πάνυ χρήσιμον[BC]. ἡ δὲ τῶν σκυλακευο-[B]
52 [B]μένων τροφὴ σιτία οἴνῳ διάβροχα. [BC]κύουσι δὲ δύο μῆνας, καὶ οὐκ[BC]
[BC]ἄν τις ἐξαγάγοι κύνα ἐπὶ θήραν, ὁπότ' ἐπίτεξ εἴη καὶ ἐπίφορος.[BC]
[BC]τῷ δ' Ἀριστοτέλους λόγῳ (Hist anim VI 574ᵃ. 22) ἡ μέν τις κύει[BC]
[BC]δύο μῆνας μάλιστα, καὶ τὰ τικτόμενα πρὸ δωδεκάτης ἡμέρας οὐ[BC]
[BC]βλέπει, ἡ δ' ἡμέρας δύο καὶ ἑβδομήκοντα, καὶ ἡ τῶν σκυλακίων[BC]
[BC]ὄψις προθεσμίαν ἔχει τετάρτην καὶ δεκάτην ἡμέραν· τῆς δ' ἡ μὲν[BC]
[BC]κύησις τρίμηνος, τὸ δὲ τῶν σκυλάκων ἀνάβλεμμα εἰς ἑβδόμην προ-[BC]
[BC]χωρήσει καὶ δεκάτην ἡμέραν. ὥρα δ' ἀρίστη κυνῶν πρὸς πλή-[BC]
[BC]ρωσίν τε καὶ γένεσιν τῷ μὲν ἄρρενι τετάρτου ἔτους ἀρξαμένου,[BC]
[BC]τελευταῖον τὸ ὄγδοον· ἡ δὲ θήλεια τριετὶς ἄχρις ἑξαετίδος συν-[BC]
[BC]δυαζέσθω.[BC]

53 νοσήματα μέντοι [B]τρία[B] κυνῶν, λύσσα ποδάγρα κυνάγχη. ἀλλ' ἡ μὲν ποδάγρα οὐ πάντῃ ἀνίατος, ἡ δὲ λύσσα δυσίατος· ἡ δὲ κυνάγχη εἰς θάνατον φέρει. [BC]πᾶν δὲ τὸ ὑπὸ λύττῃ ἐχομένου κυνὸς δηχθὲν[BC]
[BC]ἀναιρεῖται, ἄνθρωπος δὲ μόνος οὐκ ἄνευ κινδύνων περιγίνεται.[BC]

54 τοὺς δὲ σκύλακας ἑξαμήνους μὲν τὰς θηλείας οὔσας, ὀκτα-μήνους δὲ τοὺς ἄρρενας ἐπὶ θήραν ἀκτέον, [BC]ἱμάντι μακρῷ ἐνηγκυλη-[BC]
[BC]μένῳ ἐξημμένους. εἶθ' ὅταν ἐν καταλήψει γένηται τὸ θηρίον,[BC]
[BC]ἐφιέναι καὶ τούτοις ἐλεῖν, ἵνα χαίρωσι τῇ θήρᾳ, τὸ μὲν πρῶτον[BC]
[BC]ἀπὸ τοῦ ἱμάντος ὑλακτεῖν ἐῶντας, μικρὸν δ' ὕστερον καὶ τὴν ἀγκύ-[BC]
[BC]λην ἀπολύσαντας, ὡς μὴ τεινόμενοι ῥηγνύωνται.[BC]

55 κόσμος δὲ κυνῶν δέραια μέν, ἱμὰς πλατὺς περὶ τῷ τραχήλῳ, στερεός, ὃς καὶ [FS]περιδέραιον [BC]καὶ[FS] περιδερὶς[BC] ὀνομάζεται· [B]ἔνδοθεν[B]
[B]δ' [B]αὐτῷ[B] ὑπερράφθω ἀρνακίς, ὡς μὴ τρίβοιτο ὑπὸ τοῦ λώρου ἡ[B]
[B]δειρὴ τοῦ κυνός. [B]τελμονία δὲ καὶ αὐτὴ πλατὺς ἱμάς, ἑκατέρωθεν[BC]
[BC]ἀπὸ τοῦ δεραίου περὶ τὰς πλευρὰς παρήκων ἐναλλάξ, ὡς τῶν τε[BC]

---

2 καὶ οὐκ—5 μῆνας om S ‖ 3 post θήραν A add κύουσαν ‖ 4 εἰ μέν AF ‖ 6 σκυλάκων A ‖ 7 ἔχει τρίτην καὶ τετάρτην ἡμ. A ‖ 14 οὐκ ἀπαντή Π | sic λύσσα et 15 λύττῃ (ης AS) cdd ‖ 15 δαχθὲν Π ‖ 17 ἑξαμ.] ὀκταμήνους Xenoph ‖ 17—18 δεκαμήνους Xenoph ‖ 19 ὑφημμένους Xenoph ‖ 21 ὑλακτυνέω(F o S)ντας Π ‖ 22 τεινόμενοι] τινι S τινοι F ἐντεινόμενοι Xenoph ‖ 23 δεραίαμβον ἱμάς A ‖ 23—24 B ita: ὁ δ' ἱμὰς ὁ περὶ τὸν τράχηλον τῶν κυνῶν περιδέρραιον ὀνομ. ‖ 24 περὶς Π ‖ 25 ante ἀρνακίς BC add τις | λώρου] δέρματος ΠC ‖ 26 δειρὰ Π | τελαμωνία in marg γρ. τελμωνία A sic S στελμονία Xenoph

---

